*φωταύγεια* ἡ λαμπρότης.

*Φωτεινός* ὄνομα κύριον.

*φωτίζειν* εἰς φῶς ἄγειν, ἐξαγγέλλειν· "οἱ δὲ Ῥωμαῖοι νομίσαντες ἤδη τὸν καιρὸν παραδιδόναι φωτίζειν τὸ κατὰ τὴν ἐντολὴν ἀπόρρητον."

*Χαβρίας* ὄνομα κύριον.

*Χαγάνος* ὁ ἀρχηγὸς τῶν Σκυθῶν. "ὁ δὲ ··· ἤθροιζε" (cf. v. αὖρας).

*χαῖα* ἀντὶ τοῦ ἀγαθή, παρὰ τὸ κεχηνέναι· Ἀριστοφάνης ⟨Lys. 90⟩ "χαῖα μέν ἐστι, Κορινθία δέ," τουτέστι πόρνη, ἐπεὶ ἡ Κόρινθος ἐπληθύνετο πόρναις.

*χαιός* ἡ ῥάβδος.

*χαῖρε φίλον φῶς.* γυναῖκα βουλομένην ἀκολασταίνειν, σβέσασαν τὸν λύχνον, φασὶ τοῦτο εἰπεῖν. οἱ δὲ αἰσχράν, ἄλλοι γραῦν.

*Χαιρέας* ὄνομα κύριον.

a *χαίρειν.* τοῦτό ἐστι προσαγόρευσις ἀπαλλασσομένων ἢ προσερχομένων. ἐτίθετο δὲ κατ᾿ ἀρχὰς τῶν ἐπιστολῶν.

b *χαίρειν πρόσρημα.* ὀψὲ ταῖς ἐπιστολαῖς τοῦτο προστεθῆναί τινες νομίζουσιν, ἁπλῶς δ᾿ οὕτως ἀλλήλοις πρότερον ἐπιστέλλειν, οἷον "Ἄμασις Πολυκράτει τάδε λέγει" (Herodot. 3 40). πρῶτον δὲ Κλέωνά φησιν Εὔβουλος ὁ κωμικὸς οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας, ἐφ᾿ ᾧ καὶ ὑπερησθῆναι· ἀγνοῶν ὅτι καὶ οἱ παλαιοὶ ἐχρῶντο, καὶ προσηγόρευον οὕτως ἀλλήλους, οὐ μόνον τὸ πρῶτον ἐντυγχάνοντες ὡς ἡμεῖς, ἀλλὰ καὶ διαλυόμενοι ἀπ᾿ ἀλλήλων ἀντὶ τοῦ ὑγιαίνειν καὶ ἐρρῶσθαι χαίρειν διεκελεύοντο ἀλλήλοις. "ὥσπερ οἱ ὄρνιθες ··· γλῶσσαν" (cf. v. Εὔξενος).

c *χαίρειν.* ἀρχαῖον ἔθος τὸ ἐπιστολαῖς προστιθέναι τὸ χαίρειν. οἱ δὲ λέγοντες πρῶτον Κλέωνα χρήσασθαι τούτῳ ψεύδονται.

d *χαίρειν, εὖ πράττειν, πολλὰ φρονεῖν,* προσρήματα. οἱ δὲ χαίρειν, οἰμώζειν, στενάζειν (cf. v. χαιρέτω).

e *χαίρειν.* οὕτως ἐπέγραφε Κλέων, ὁ δὲ Πλάτων εὖ πράττειν, ὁ δὲ Ἐπίκουρος εὖ διάγειν (cf. v. εὖ διάγειν).

*χαίρειν εἰπών* ἀντὶ τοῦ καταλιπών· "ὁ δὲ δι᾿ ἄλλης ὁδοῦ παρεγένετο, τῇ Μισσιανῇ χαίρειν εἰπών."

*χαίρειν, ἤν τε βάλῃσθ᾿ ἤν τε μή,"* ἀντὶ τοῦ παντὶ τρόπῳ. Ἀριστοφάνης Πλάτῳ ⟨638⟩ "πάρεστι χαίρειν, ἤν τε βάλῃσθ᾿ ἤν τε μή." καὶ ἔτι ὁ αὐτός ⟨322⟩ "χαίρειν μὲν ὑμᾶς ἐστίν, ὦνδρες δημόται, ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν."

*χαίρειν φράσαντες* ἀποταξάμενοι, καταγνόντες.

*χαιρέκακος* ὁ χαίρων τοῖς κακοῖς.

*χαιρέτω* ληρῶν ἐρυθριάτω φλυαρῶν. καὶ *χαίρειν* οἰμώζειν, στενάζειν.

*Χαιρεφῶν* Ἀθηναῖος, τῶν δήμων Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής. a

*Χαιρεφῶν.* τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ δοκεῖ σῴζεσθαι τῶν συγγραμμάτων. δοκεῖ γὰρ γενέσθαι πάνυ θερμὸς καὶ σφόδρα ἐχθρεῦσαι τἀδελφῷ· καί φησι Ξενοφῶν ⟨Mem. 2 3 18⟩ Σωκράτην συνάγοντα αὐτοὺς λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. b

*Χαιρεφῶν* ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. καὶ παροιμία ··· ἐκαλεῖτο (cf. v. διοίσειν). c

*χαιρηδόνος* χαρᾶς. τῷ τόνῳ δὲ ὡς ἀλγηδόνος· ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδών ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδών χαιρηδόνος.

*Χαιρήμων* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ ταῦτα, Τραυματίας, ὥς Ἀθήναιός φησιν, καὶ Οἰνεὺς καὶ Ἀλφεσίβοια καὶ Κένταυρος καὶ Διόνυσος καὶ Ὀδυσσεὺς καὶ Θυέστης καὶ Μινύαι. καὶ ἕτερος Χαιρήμων γράψας ἱερογλυφικά.

*Χαιριδεῖς* ὑπὸ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος. οὕτω δὲ λέγουσιν Ἀττικοὶ ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς. οὗτος δὲ ηὔλει ἐν ταῖς θυσίαις. ἦν δὲ καὶ κιθαρῳδός· Ἀριστοφάνης ⟨Pac. 941⟩ "ἢν Χαῖρις ὑμᾶς ἴδῃ, πρόσεισιν αὐλήσων ἄκλητος." καὶ παροιμία "Χαῖρις ᾄδων ὄρθιον." ὄρθιος δὲ αὐλητικὸς νόμος οὕτω καλούμενος, οἷον εὔτονος καὶ ἀνάτασιν ἔχων. καὶ Ὅμηρος ⟨Λ 10⟩ "ἔνθα στᾶσ᾿ ἤυσε θεὰ μέγα τε δεινόν τε ὄρθι᾿ Ἀχαιοῖσι."

*Χαῖρις κιθαρῳδός.* μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις· "φέρ᾿ ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο; ὁ Πεισίου Μέλης. μετὰ τὸν Μέλητα δ᾿ ἦν-. ἔχ᾿ ἀτρέμας, ἐγᾦδα. Χαῖρις." ἔστι καὶ ἕτερος, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει ⟨sch. A Ach. 859⟩.

*χαίρω* τὸ εὐφραίνομαι. καὶ *χαίρω σε*

ἐληλυθότα. Ὠρωπικοὶ οὕτω λέγουσιν. Εὐριπίδης Σισύφῳ "χαίρω γέ σ', ὦ βέλτιστον Ἀλκμήνης τέκος, τόν τε μιαρὸν ἐξολωλότα." καὶ χαιρούμενος.

Χαίρων Λακεδαιμόνιος, ὃς ἐπρέσβευσεν εἰς τὴν Ῥώμην, ἀνὴρ ἀγχίνους μὲν καὶ πρακτικός, νέος δὲ καὶ ταπεινὸς καὶ δημοτικῆς ἀγωγῆς τετευχώς. οὗτος ὀχλαγωγῶν καὶ κινήσας ὃ μηδεὶς ἕτερος ἐθάρρει, ταχέως περιεποιήσατο φαντασίαν παρὰ τοῖς πολλοῖς. καὶ τὸ μὲν πρῶτον ἀφελόμενος τὴν χώραν ἣν οἱ τύραννοι συνεχώρησαν ταῖς ὑπολειφθείσαις τῶν φυγάδων ἀδελφαῖς καὶ γυναιξὶ καὶ μητράσι καὶ τέκνοις, ταύτην διέδωκε τοῖς λεπτοῖς εἰκῇ καὶ ἀνίσως κατὰ τὴν ἰδίαν ἐξουσίαν· μετὰ δὲ ταῦτα τοῖς κοινοῖς ὡς ἰδίοις χρώμενος ἐξεδαπάνα τὰς προσόδους, οὐ νόμου στοχαζόμενος, οὐ κοινοῦ δόγματος, οὐκ ἄρχοντος. ἐφ' οἷς ἀγανακτήσαντες κατεστάθησαν δοκιμαστῆρες τῶν κοινῶν κατὰ τοὺς νόμους. ὁ δὲ Χαίρων θεωρῶν τὸ γιγνόμενον καὶ συνειδὼς αὑτῷ κακῶς κεχειρικότι τὰ τῆς πόλεως τὸν ἐπιφανέστατον τῶν δοκιμαστήρων Ἀπολλωνίδην ἀποπορευόμενον ἡμέρας ἐκ βαλανείου ἐξεκέντησε. τοῦ δὲ πλήθους ἀγανακτήσαντος ἐπὶ τοῖς γεγονόσιν, ὁ στρατηγὸς παραγενόμενος εἰς Λακεδαίμονα τὸν Χαίρωνα παρήγαγεν εἰς κρίσιν ὑπὲρ τοῦ φόνου τοῦ κατὰ τὸν Ἀπολλωνίδην, καὶ κατακρίνας ἐποίησε δέσμιον· τούς τε λοιποὺς δοκιμαστῆρας παρώξυνε πρὸς τὸ ποιεῖσθαι τὴν ζήτησιν τῶν δημοσίων ἀληθινήν, φροντίσαι δὲ καὶ περὶ τοῦ κομίσασθαι τὰς οὐσίας τοὺς τῶν φυγάδων ἀναγκαίους πάλιν, ἃς ὁ Χαίρων αὐτῶν ἀφείλετο βραχεῖ χρόνῳ πρότερον ⟨Polyb. 25 8⟩.

Χαιρώνεια πόλις, καὶ Χαιρωνειάτης ὁ πολίτης. καὶ Χαιρωνεύς Χαιρωνέως.

Χαιρωνικόν.

Χαίρωνος ὄνομα κύριον.

χαῖται αἱ τρίχες, αἱ κόμαι.

χαιτήεις ἵππος ὁ χαίτην τρέφων.

χάλαζα νέφος πεπηγὸς καὶ ὑπὸ πνεύματος διαρριφθὲν καὶ κατενεχθέν. χιὼν δὲ ὑγρὸν ἐκ νέφους πεπηγός ⟨Diog. L. 7 153⟩.

χάλαζαι. τέσσαρές εἰσι πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδους ὑγρότητος, ὑπὲρ γῆν μὲν ἄνω ἐπ' ἔλαττον μὲν χιών, ἐπὶ πλέον δὲ χάλαζα, ἐπὶ γῆς δὲ κάτω ἐπ' ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύσταλλος. ὁ δὲ νιφετὸς οὐκ ἔστι πῆξις, ἀλλὰ μᾶλλον περὶ ἀλλοίαν χρόαν ἢ ποιότης αὐτοῦ. Ἀριστοφάνης ⟨Ran. 876⟩ "ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ' Εὐριπίδη," ἀντὶ τοῦ ἀπὸ τῶν σφοδρῶν λόγων.

χαλαζᾷ ἤτοι χαλαρός ἐστι· "τὸν πρωκτὸν εἰ χαλαζᾷ." νόσημα δέ ἐστι τοῦτο τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει, ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα. εἰώθασι δὲ οἱ μάγειροι πασσάλῳ τὰ τῶν χοίρων ἀνοίγειν στόματα μετὰ τὴν σφαγήν, καὶ κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δέ ἐστι πάθος τῶν χοίρων ⟨sch. A Eq. 380⟩.

χαλαρὰ χαῦνα· ⟨A Thesm. 269⟩ "χαλαρὰ γοῦν χαίρεις φορῶν ὑποδήματα." "καὶ χαλαρὸν ἦν αὐτῷ καὶ θῆλυ τὸ σπλάγχνον πρὸς τοὺς δεομένους, εἴπερ τινὶ τῶν καθ' αὐτὸν ἀνθρώπων."

χαλάσαι ἐκλυθῆναι, χαυνωθῆναι· "ὕδωρ ἐξ οὐρανοῦ ἐμπῖπτον χαλάσαι μὲν τοῖς βαρβάροις τὰς νευράς, μαλάξαι δὲ τῶν τόξων τὰ κέρατα, ἀφελέσθαι δὲ τὸ βίαιον καὶ τὸ ἐπίσκοπον τῆς τοξείας."

Χαλαστραῖον νίτρον, ἀπὸ Χαλάστρας τῆς ἐν Μακεδονίᾳ λίμνης.

χαλάσω τὴν ἱερὰν ἄγκυραν. ἄγκυρα μεταφορικῶς ἀπὸ τῶν νηῶν ἡ ἀσφάλεια, ὡς Σοφοκλῆς ἐν Φαίδρᾳ καὶ Εὐριπίδης ἐν Ἑκάβῃ ⟨79⟩, ἱερὰ δὲ ἡ μεγάλη ἢ ἀγαθή. Διόδωρος "τοῦ δὲ βασιλέως χαλῶντος καὶ παραλυομένου πρὸς τὰ λεγόμενα, ἐπιτρέπει αὐτῷ πράττειν ὃ βούλεται."

χαλβάνη ἀλοιφή τις ἐνεργητικὴ πρὸς ἵππους.

Χαλδαϊκοῖς ἐπιτηδεύμασι· "διαπορουμένῳ γοῦν τῷ Πρόκλῳ περὶ τῶν Ἰσιδώρου μιμήσεων τῶν ὀρνέων καὶ τῶν φωνῶν τῶν ἀπηχημάτων ἐνίας ἐν τοῖς Χαλδαϊκοῖς ἐπιτηδεύμασιν αὐτὸς ὑπεδείκνυε τὴν ὁδὸν τῆς μιμήσεως ἄλλων τε καὶ στρουθῶν τῶν μικρῶν τούτων καὶ κατοικιδίων τῆς πτήσεως, οἷα ψοφοῦσι ταῖς πτέρυξιν ἐγειρόμενοι πρὸς τὸ πέτεσθαι" ⟨Damascius⟩.

Χαλδαῖοι ἔθνος περὶ τὴν ἀστρονομίαν ἠκριβωμένον.

Χαλδίνη ὄνομα πόλεως.

χαλεπὰ τὰ καλά. Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰ-

πεῖν "χαλεπὸν ἐσθλὸν ἔμμεναι," Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι "χαλεπὰ τὰ καλά." διὸ καὶ ἑκάτερα παροιμιασθῆναι ⟨cf. v. Πιττάκειον⟩.

b χαλεπὰ τὰ καλά. φασὶ Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παροιμία. οἱ δὲ τὸ χαλεπά ἀντὶ τοῦ ἀδύνατα τιθέασιν, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

χαλεπαίνει ἀγανακτεῖ, ὀργίζεται. "ἔπεσον πλείονες τῶν Ῥωμαίων, καὶ Τραϊανὸς ἐχαλέπαινε τοῖς πεποιημένοις." καὶ αὖθις "διὰ τὸ πολλάκις ἰδεῖν πρότερον οὐ χαλεπῶς γνωρίσας τὸν ἄνθρωπον," ἀντὶ τοῦ εὐχερῶς. καὶ αὖθις "ἐπὶ τοσόνδε χαλεπήναντος τοῖς φύλαξιν ὥστε καὶ τὰς κεφαλὰς αὐτῶν ἀποτεμεῖν." καὶ αὖθις "ὡς δὲ ἐπεφοίτα ἡ τοῦ ὀνείρου ὄψις ἐς πάντας, χαλεπαίνουσιν ὁ δῆμος," οἱ Τύριοι.

χαλεπὸν χορίω κύνα γεύειν" (Theocrit. 10 11). τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται· οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρύοις ἐπιβουλεύουσι διὰ τὸ λίχνον.

χαλεπώτατον. φησὶν Ἀριστοτέλης ἐν β' Τοπικῶν ⟨1 4⟩ "χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν." χαλεπώτατον λέγοι ἂν ὅτι μὴ ἁπλοῦν μηδὲ πρόχειρον, ὡς ἐπὶ τῶν ἄλλων ⟨Alex. Aphrod. p. 70⟩.

χαλεπωτάτους λόγους ⟨A Av. 539⟩ κλέψαι δυναμένους. "Κάνδιδος ἐκλεξάμενος τοὺς χαλεπωτέρους καὶ σφίσι τὰ δημόσια νείμας ἔπεισεν ἐξ ἐκείνου καὶ τοῖς τῶν ἐπαρχιῶν ἄρχουσιν ὑπείκειν."

Χαλέστρα πόλις.

χαλίκρητος ποτός ὁ χαλῶν τὰς φρένας. ἢ κατὰ στέρησιν τοῦ χ, ἵν' ᾖ ἅλις ἄκρατον ἔχων, τουτέστιν οἶνον. καὶ χαλικρήτῳ μὴ κεκραμένῳ· ἐν ἐπιγράμματι ⟨AP 5 294⟩ "κεῖτο χαλικρήτῳ νάματι βριθομένη."

χαλίμα ἡ πόρνη, ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ μέθης ἢ μανίας.

χαλινός τὸ ἡνίον.

χαλινῷ αἰτιατικῇ.

χάλιξ μικρὸν λιθίδιον.

χάλις εἶδος οἴνου. καὶ ἡ δοτικὴ τῷ χάλει.

χαλίσια.

χαλίφρονος τοῦ ἀνοήτου.

χαλκεῖα ἑορτὴ Ἀθήνησιν, ἅ τινες Ἀθήναια καλοῦσιν· οἱ δὲ πάνδημον διὰ τὸ ὑπὸ πάντων ἄγεσθαι.

χαλκεῖα ἑορτὴ ἀρχαία καὶ δημώδης πάλαι, ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, ὅτι ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. ἔστι δὲ ἕνη καὶ νέα τοῦ πυανεψιῶνος· ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται.

χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινή, μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος. Φανόδημος δέ φησιν οὐκ Ἀθηνᾷ ἄγεσθαι τὴν ἑορτὴν ἀλλ' Ἡφαίστῳ. Harp.

χαλκεῖον ἐν ᾧ χαλκεύουσι. χαλκεῖον δὲ Δωδωναῖον διφορεῖται.

χαλκέντερος. ὅτι Δίδυμος ὁ γραμματικὸς χαλκέντερος ἐκλήθη διὰ - - - βιβλία (cf. v. Δίδυμος⟩.

χάλκεος ἰσχυρός, στερεός. καὶ χαλκέῳ κεράμῳ Ὅμηρος ⟨E 387⟩· "χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας," ἤγουν δεσμῷ ἰσχυρῷ καὶ δυσλύτῳ. ἡ πόλις καλεῖται Χαλκοῦς κέραμος.

χαλκεύς πᾶς ὁ χαλκεύων τι. καὶ ὁ χρυσοχόος.

χαλκευτής· ⟨AP 7 34⟩ "Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κόνις."

χαλκεύω αἰτιατικῇ.

χαλκεῶνα τὸ χαλκεῖον.

χαλκήβατος.

Χαλκηδόνιοι ἀπὸ Χαλκηδόνος πόλεως.

χαλκήρεα.

Χαλκιδεύς ὄνομα κύριον.

χαλκιδίζειν καὶ χαλκιδεύεσθαι ἐπὶ τῶν γλισχρευομένων. καὶ φικιδίζειν ἐπὶ τοῦ παιδεραστεῖν, ἐπεὶ παρ' αὐτοῖς οἱ ἀρρένων ἔρωτες ἤσκηντο. ἄλλοι δὲ ἐπὶ τῷ ῥωτακίζειν, ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ρ κατακορεστέρως χρῆσθαι, καὶ ἀντὶ τοῦ σ τιθέντες.

Χαλκιδικὸν δίωγμα. τοῖς Θεσμοφόροις Ἀθήνησί τι νόμιμον, ἐν πολέμῳ γυναικῶν εὐξαμένων διωχθῆναι τοὺς πολεμίους, καὶ συνέβη φυγεῖν εἰς Χαλκίδα, ὡς καὶ Σῆμος (cf. Plutarch. quaest. Gr. 31).

χαλκιδῖτις παρὰ Ἰωσήπῳ ἡ πόρνη, ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος.

χαλκίοικος ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ, ἢ

ὅτι χαλκῶν εἶχεν οἶκον, ἢ διὰ τὸ στερεὸν εἶναι, ἢ διὰ τὸ τοὺς Χαλκιδεῖς τοὺς ἐξ Εὐβοίας φυγάδας αὐτὸν κτίσαι (sch. Thuc. 1 128).

χαλκίοισι τοῖς πονηροῖς χρώμεθα, "χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι" (A Ran. 737). χαλκία ὡς χρυσία ἔλεγον τῷ σχήματι, τὰ χαλκᾶ σκεύη. λέγεται δὲ οὕτω καὶ τὸ κακὸν νόμισμα τὸ χρυσοῦν, λέγεται δὲ καὶ τὸ χαλκοῦν· ἐπὶ γὰρ Καλλίου νόμισμα χαλκοῦν ἐκόπη. λέγει δὲ ὅτι τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα· ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι συγχρώμεθα.

χαλκίς εἶδος ὀρνέου, ἡ γλαῦξ.

χαλκοβάρεια τῷ χαλκῷ βαρουμένη, ἀντὶ τοῦ στερεά.

χαλκοβατές στερεόν. Hom. Α 426.

χαλκοκορυστής χαλκῷ καθωπλισμένος.

χαλκοκρότων χαλκοπόδων, τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων· συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων.

χαλκόπους ἐρινύς ἡ στερεὰ καὶ ἀκοπίατος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων (sch. S El. 491).

χαλκοτύπους (Hom. Τ 25) τὰς ἐκ σιδήρου πληγὰς γινομένας. "χαλκοτυπίαις ἁδραῖς σε τὸ σῶμα."

χαλκῷ σιδήρῳ.

Χαλκώδων.

Χαλμήδη.

Χάλος ποταμός, οὗ τὸ εὖρος πλέθρου, πλήρης ἰχθύων μεγάλων καὶ πραέων (cf. v. Φάρος).

Χάλυβες ἔθνος Σκυθίας, ἔνθεν ὁ σίδηρος τίκτεται· καὶ Λυκόφρων (1109) "Χαλυβικῷ κνώδοντι συντεθραυσμένῳ." καὶ χάλυψ ὁ σίδηρος· ἐν ἐπιγράμματι (AP 6 65) "καὶ χάλυβα σκληρὸν καλαμηφάγον."

Χαλυβώνιος οἶνος. cf. Strab. p. 1068.

Χὰμ σκηνώματα ἡ Αἴγυπτος, ἐπειδὴ τοῦ Χὰμ ὁ Μεσρέμ, Μεσρὲμ δὲ ἡ Αἴγυπτος (Theodoret. in Ps. 77 51).

χαμάδις χαμαί, εἰς γῆν. καὶ χαμᾶζε χαμαί.

χαμαὶ ἐπὶ τῆς γῆς. καὶ παροιμία χαμαὶ ἀντλεῖν, ἐν ἴσῳ τῷ οὐδὲν ἐργάζεσθαι, οἷον καὶ τὸ πλίνθον πλύνειν ἐπὶ τῶν ἀνηνύτων λέγεται.

χαμαιευνάδες χαμαὶ κοιμώμεναι. καὶ χαμαιεύνης ὁμοίως. Hom. Π 235, κ 243, ξ 15.

χαμαιεύρετος· "χαμαιεύρετόν με εὗρε καὶ ἀνεθρέψατο."

χαμαίζηλοι ταπεινοί· ἢ δίφροι κοιλώδεις. "τροχῶν αὐτοῖς κάτωθεν ὑποστρεφομένων χαμαιζήλων."

χαμαιζυμήτης ἄρτος.

χαμαίλεον εἶδος βοτάνης. καὶ χαμαίμηλον εἶδος βοτάνης.

χαμαιλέων ζῷον, εἰς πάντα τὴν χροιὰν μετατρέπων πλὴν λευκοῦ.

χαμαιπέτεια. καὶ χαμαιπετὴς ὁ χαμαὶ ἐρριμμένος. .

χαμαιρεπές χαμαὶ ῥέπον.

χαμαιτυπεῖον πορνεῖον, καὶ χαμαιτύπη ἡ πόρνη, ἀπὸ τοῦ χαμαὶ κειμένη ὀχεύεσθαι. χαμεταιρίς.

χαμεύνης ὁ χαμαὶ εὐναζόμενος. καὶ θηλυκὸν χαμεύνη, ταπεινὴ κλίνη· Ἀριστοφάνης (Av. 817) "οὐδ' ἂν χαμεύνῃ πάνυ γε κειρίαν γ' ἔχων" (cf. v. κειρία).

χαμῖτις ὄνομα ἀμπέλου.

χαμόθεν ἀπὸ τῆς γῆς.

Χαμώς θεὸς ἦν Τυρίων καὶ Ἀμμανιτῶν, ὥσπερ ἡ Ἀστάρτη θεὸς Σιδωνίων, οἷς ἐλάτρευσε Σολομῶν (cf. v. Σολομῶν).

Χαναάν ὄνομα κύριον. καὶ ἐξ αὐτοῦ Χαναναῖοι.

ὅτι Μωυσῆς μ' ἔτη συμφιλοσοφήσας τῷ λαῷ τελευτᾷ, διάδοχον καταλιπὼν Ἰησοῦν τὸν τοῦ Ναυῆ, ὅστις κατῴκισε τὸν Ἰσραὴλ ἐν τῇ γῇ ᾗ ἐπηγγείλατο κύριος τῷ Ἀβραάμ (ἔστι δὲ ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου κυκλουμένη διὰ θαλάσσης καὶ ξηρᾶς), ἐκβαλὼν πάντας τοὺς βασιλεῖς καὶ δυνάστας τῶν ἐθνῶν· οἵτινες ὑπ' αὐτοῦ διωκόμενοι διὰ τῆς παραλίου Αἰγύπτου τε καὶ Λιβύης κατέφυγον εἰς τὴν τῶν Ἄφρων χώραν, τῶν Αἰγυπτίων μὴ προσδεξαμένων αὐτοὺς διὰ τὴν μνήμην τὴν προτέραν, ἣν ἔπαθον δι' αὐτοὺς ἐν τῇ ἐρυθρᾷ καταποντισθέντες θαλάσσῃ. καὶ προσφυγόντες τοῖς Ἄφροις τὴν ἔρημον αὐτῶν ᾤκησαν χώραν, ἀναδεξάμενοι τὸ σχῆμα καὶ τὰ ἤθη, καὶ ἐν πλαξὶ λιθίναις ἀναγραψά-

μενοι τὴν αἰτίαν δι' ἣν ἀπὸ τῆς Χαναναίων γῆς ᾤκησαν τὴν Ἀφρικήν. καὶ εἰσὶ μέχρι νῦν αἱ τοιαῦται πλάκες ἐν τῇ Νȣμιδίᾳ περιέχουσαι οὕτως "ἡμεῖς ἐσμὲν Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησȣ̃ς ὁ λῃστής." καὶ θηλυκὸν Χαναναία. καὶ Χανανῖτις γῆ.

χανδὸν ἀθρόως, ἀπλήστως, χωρητικῶς. πίνειν χανδόν. "ὁ δὲ Εὐτρόπιος καιρȣ̃ καὶ τύχης ἀμέτρως τε καὶ χανδὸν ἀρυόμενος καὶ κατεμφορύμενος, καὶ πολυπραγμονῶν, ὥστε οὐκ ἔλαθε πατὴρ παῖδα μισῶν ἢ ἀνὴρ γυναῖκα ἢ μήτηρ τέκνον, ἀλλ' ἐξηκοντίζετο ἅπαντας πρὸς τὴν ἐκείνȣ γνώμην" (Eunap. p. 117 Nieb.).

χάνοι διασταίη.

Χάονες ἔθνος Ἠπειρωτικόν· Ἀριϛοφάνης (Eq. 78) "ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν," ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο ὁ Γέρης. ἐν Χάοσι δὲ παρὰ τὸ κεχηνέναι. Θρᾴκης δὲ ἔθνος οἱ Χάονες.

a χάος καὶ ὁ ἀὴρ παρ' Ἀριστοφάνει ἐν Ὄρνισι (193)· "διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τȣ̃ χάȣς τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε." καὶ "χάȣς ἀρχαιότερος καὶ κρονίων," ἐπὶ τῶν πάνυ παλαιῶν. καὶ Ἴβυκος "ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει." καὶ αὖθις "ὃ δὲ φλυαρεῖ καὶ μάτην ἡμῶν λῆρον καταχεῖ τȣ̃ χάȣς ἀρχαιότερον καὶ κρονίων ἀπόζοντα."

b χάος. Ἀριστοφάνης (Av. 698) "χάος ἦν καὶ νὺξ ἔρεβός τε μέλαν πρῶτον καὶ τάρταρος εὐρύς, γῆ δ' ȣ̓δ' ἀὴρ ȣ̓δ' ȣ̓ρανὸς ἦν· ἐρέβȣς δ' ἐν ἀπείροσι κόλποις τίκτει πρώτιστον ὑπηνέμιον νὺξ ἡ μελανόπτερος ᾠόν, ἐξ ȣ̔̃ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός, στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις. ȣ̔̃τος δὲ χάει πτερόεντι μιγεὶς νυχίῳ κατὰ τάρταρον εὐρὺν ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς. πρότερον δ' ȣ̓κ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα· ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς ὠκεανός τε καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον."

χαρά ἡδονὴ εὐφροσύνη τέρψις. τινές φασι κατὰ τὸ ὑποκείμενον ταὐτὸν σημαινόμενον εἶναι, Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τȣ́των ἴδιόν τι σημαινόμενον ὑποτάσσειν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς στȣᾶς, χαρὰν μὲν λέγοντες εὔλογον ἔπαρσιν, ἡδονὴν δὲ ἔπαρσιν ἄλογον, τέρψιν δὲ τὴν διὰ θεωρίας ἡδονήν, εὐφροσύνην δὲ τὴν διὰ λόγων ἡδονήν. νομοθετȣ́ντων δέ ἐστι τȣ̃το. τὸ μὲν γὰρ εἰπεῖν ἡδονὴν χαρὰν ȣ̓χ ἁμάρτημα ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον· οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν ἢ τὴν μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν ἄτοπόν τε καὶ ψεῦδος (Alex. Aphrod. in Top. 2 p. 96).

χαράδρα διῶρυξ πηλȣ̃ μεστή, ὄλεθρον, ȣ̓χ ὕδωρ ἔχȣσα· Ἀριστοφάνης (Vesp. 1029) "φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας." ἐν ἐπιγράμματι (AP 6 255) "ὁππότε μιν κνημῶς τε κατὰ λασίȣς τε χαράδρας ἐξ ὀρέων ποταμȣ̃ φράσσατ' ἐπ' ἠιόνων."

χαράδραι αἱ διαιρέσεις καὶ τὰ σχίσματα καὶ χείμαρροι γῆς.

χαραδραῖος λέων ὁ παρὰ ταῖς χαράδραις. εἰ μὴ τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς. Χαράδρα δὲ καλεῖται ὁ τόπος ἐκεῖνος.

Χαραδρεῶνος.

χαραδριός ὄρνεον, εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται. ὅθεν καὶ κρύπτȣσιν αὐτȣ̀ς οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

"καὶ μὴν καλύπτει. μῶν χαραδριὸν περνᾷς;" οὕτως Ἱππῶναξ. καὶ παροιμία ἐντεῦθεν "χαραδριὸν μιμȣ́μενος," ἐπὶ τῶν ἀποκρυπτομένων. ȣ̔̃τως Εὐφρόνιος. ἐπεὶ γὰρ τȣ̀ς ἰκτεριῶντας ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, καὶ τȣ̃τον οἱ περνῶντες κρύπτȣσιν, ἵνα μὴ πρὸ τȣ̃ ὠνήσασθαί τις ἰαθῇ περιέργως. ἔστι δὲ εἶδος ὀρνέȣ μεταβαλλόμενον εἰς τὰ προκείμενα. καὶ ἐπὶ μὲν τȣ̃ ὀρνέȣ ὀξύνεται, ἐπὶ δὲ τῆς χαράδρας βαρύνεται. ἐπεὶ καὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίαν ποιȣ̃σι. χαραδριὸν ȣ̓̃ν μιμȣ́μενος ἀντὶ τȣ̃ ἀποκρυπτόμενος. οἱ δέ φασιν ȣ̓ τȣ̀ς ἰδόντας τὸν χαραδριὸν ἀλλὰ τȣ̀ς φαγόντας ἀπαλλάσσεσθαι τῆς νόσȣ. b

χαραδρȣ̃ται ὀρύσσεται, κοιλαίνεται.

χάρακα τείχισμα, περίφραγμα, χαράκωμα, ὃ περιεβάλλοντό τινες ἐν στρατοπέδῳ ἐπὶ σωτηρίᾳ, ὡς Δημοσθένης. καὶ Μένανδρος "πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα τὰς κώμας ἐπόρθȣν." Harp.

χαρακτῆρες λόγων φραστικοὶ ὑψηλὸς ἰσχνὸς μέσος. ὁ δὲ Θȣκυδίδης τὸν ὑψηλὸν

ἐζήλωσεν ὡς πρόσφορον τῇ οἰκείᾳ φύσει ⟨Marcellin. V. Thuc. p. 6⟩.

Χάραξ Περγαμηνὸς ἱερεὺς καὶ φιλόσοφος, ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον ⟨AP append. 157⟩ "εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης, ἔνθα ποτὲ πτολέμιξεν Ἀχιλλῆι πτολιπόρθῳ Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων." ἔστι δὲ τῶν μετ' Αὔγουστον πολλῷ νεώτερος· μέμνηται γοῦν ἐν τῷ β' τῶν βιβλίων Αὐγούστου ὡς πάλαι γενομένου Καίσαρος, καὶ ἐν τῷ ζ' Νέρωνος καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν τε καὶ ἱστοριῶν βιβλία μ'.

χάραξ ἀρσενικῶς τὸ στρατόπεδον.

ὅτι οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν ἔχῃ πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου. παρὰ δὲ Ῥωμαίοις δύο κεραίας ἢ τρεῖς ἔχουσιν οἱ χάρακες ⟨cf. v. πρέμνον⟩. Δημόστρατος Δημοποιήτου "οἳ μὲν προσέφερον τὸν χάρακα πρὸς τὴν ἄκραν." θηλυκῶς δὲ ὁ τῆς ἀμπέλου· ⟨A Vesp. 1282⟩ "ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον."

χάραξ τὴν ἄμπελον, ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον πάθῃ.

χάραξιν ὀξέσι ξύλοις, ἢ καλάμοις, ἢ ἀκανθώδεσι φυτοῖς.

Χάραξος ὁ Σαπφοῦς ἀδελφός ⟨cf. vv. Αἴσωπος et Ἰάδμων⟩.

Χάρεια.

Χάρητος ὑποσχέσεις. Χάρης στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις λέγεται γεγονέναι, ὅθεν ἡ παροιμία τάττεται ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων.

Χαρίδημος ὄνομα κύριον.

a χάριεν. οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπουσι· τὸ δὲ πρὸ μιᾶς κοινόν. Ἀριστοφάνης Πλούτῳ ⟨145⟩ "εἴ τί γ' ἔνεστι λαμπρὸν καὶ καλὸν ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίνεται."

b χάριεν προπαροξυτόνως ἀντὶ τοῦ χαριέντως. χαρίεν δὲ παροξυτόνως ἐπὶ τοῦ ἐπιχαροῦς· Δαμάσκιος "κινδυνεύομεν εἰς αὐτὰ ἐμπεπτωκέναι τὰ τῶν χαριέντων σκώμματα."

χαριεντιζόμενοι εὐτραπελευόμενοι, σκώπτοντες, ὡς Ἀριστοφάνης "χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει."*

χαριεργός ἡ κεχαριτωμένα ἐργαζομένη· ⟨AP 6 205⟩ "ἃ δὴ χαριεργῷ Ἀθάνᾳ ἐκ τέχνας θήκατο παυόμενος."

χαριεστέρους ἐνδοξοτέρους, εὐπρεπεστέρους· Εὐνάπιος ⟨p. 101 Nieb.⟩ "ὁ δὲ Προκόπιος τοὺς χαριεστέρους ἀναλαβὼν ἐπὶ τὸν βασιλέα διὰ Φρυγίας συνήπτετο."

Χαριέττων ὄνομα κύριον. cf. v. ἀνεῖχε.

χαρίζεσθαι κοινῶς μὲν ὡς οἱ πολλοί, ἰδίως δὲ ἐπὶ ἀφροδισίων ἢ ἐπὶ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι. "εἴ τί σοι δεῖ χαρίζεσθαι," καὶ πάλιν "ἵνα σοι χαρίσωμαι." καὶ χαριζόμενοι χάριν τιθέμενοι· "οἳ δὲ τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμον, ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενοι" ⟨cf. v. ἄχαρι⟩.

Χαρίκλεια ὄνομα κύριον. καὶ Χαρικλῆς εἷς τῶν λ'.

χάριν τέρψιν.

Χαρινάδης ὄνομα κύριον. οὗτος νωθὴς ἦν· καὶ παροιμία "κρείττων ἐστί σου Χαρινάδης βαδίζειν" ἐπὶ τῶν βραδυνόντων ἐν τῇ πορείᾳ ⟨A Vesp. 232⟩.

Χαριξένη. εὐήθης καὶ μωρὰ ἡ Χαριξένη ἑταίρα· Ἀριστοφάνης ⟨Eccl. 938⟩ "οὐ γὰρ τἀπὶ Χαριξένης τάδε γ' ἐστί."

χάρις· ⟨S Ai. 522⟩ "χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί," τουτέστιν ἡ φύουσα τὴν χάριν χάρις ἐστὶ προϋπάρξασα.

χαρίσασθαι ἀντὶ τοῦ κατορθῶσαι· "ὀλίγοις χαρίσασθαι" παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι ⟨514⟩.

Χάρισι καὶ Ἀφροδίτῃ ξύντροφος ἡ διαλλαγή, τουτέστιν ἡ εἰρήνη, διότι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται ⟨A Ach. 957⟩.

χαρίσιον χαριστήριον· "ταῦτα ἀναγεγράφθω μοι, χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι." καὶ χαρίσιοι πλακοῦντος εἶδος· Ἀριστοφάνης Δαιταλεῦσι "πέμψω παλλακαῖς ἑσπέρας χαρισίας" ⟨cf. v. ἀνάστατα⟩.

Χαριστίωνος ὄνομα κύριον.

Χαριταίνης ὄνομα κύριον.

χάριτας τιμάς, εὐεργεσίας· "ὃ δὲ στέλλει Θεόδωρον ὁμολογήσοντα χάριτας ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐτίμησεν ἐς τὰ μάλιστα." καὶ παροιμία "αἱ χάριτες γυμναί," ἤτοι ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι, ἢ ὅτι αἱ χάριτες τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται. τρεῖς δὲ αἱ χάριτες, Πειθὼ Ἀγλαΐα καὶ Εὐφροσύνη.

χάριτας γυμνὰς ἱστοροῦσι, διότι δωρεὰν b δεῖ χάριτας τίθεσθαι.

χαριτία ἡ χαρμονή.

χαρίτων θρύμμα καλλώπισμα (A Eccl. 966).

Χαρίτων Χαρίτωνος ὄνομα κύριον.

Χαρίωνος ὄνομα κύριον.

χάρμα χαρά, ἡδονή· Πολύβιος. "τὸν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένας" (Hom. τ 471).

χάρμη μάχη.

Χάρμος. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν (cf. v. Ἀθήναιος).

χαροπός περιχαρής, εὐόφθαλμος.

Χάροψ. καὶ Χάροπος κλίνεται.

a Χάρων ὁ θάνατος. καὶ πορθμευτικαὶ παρὰ Χάρωνος πεύσεις καὶ κηρύγματα "τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων; τίς εἰς τὸ Λήθης πεδίον;" χωρίον ··· χρησιμεύουσι (cf. v. ἀνάπαυλαν). λέγεται δὲ καὶ ἐπὶ τῶν ἀνηνύτων ἡ παροιμία· ἐν ᾧ τρόπῳ φαμὲν "χύτραν ποικίλλεις." ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. διὰ τοῦτο ἐν ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς

b Χάρων Καρχηδόνιος ἱστορικὸς ἔγραψε τυράννους ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', βίους ὁμοίως γυναικῶν ἐν δ'.

c Χάρων Λαμψακηνός, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, οθ' (an ξθ') ὀλυμπιάδι· μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' ὀλυμπιάδα· ἱστορικός. ἔγραψεν Αἰθιοπικά, Περσικὰ ἐν βιβλίοις β', Ἑλληνικὰ ἐν βιβλίοις δ', περὶ Λαμψάκου β', Λιβυκά, ὅρους Λαμψακηνῶν ἐν βιβλίοις δ', πρυτάνεις ἢ ἄρχοντας τοὺς τῶν Λακεδαιμονίων· ἔστι δὲ χρονικά. κτίσεις πόλεων ἐν βιβλίοις β'. Κρητικὰ ἐν βιβλίοις γ'· λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους. περίπλουν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

d Χάρων Ναυκρατίτης ἱστορικὸς ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα, βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν ἑκάστῳ ἔθνει, καὶ περὶ Ναυκράτεως, καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου.

Χαρώνδας ὄνομα κύριον.

Χαρώνειος θύρα μία τῶν νομοφυλακίων θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (278) "ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν," ἀντὶ τοῦ μέλλεις ἀποθανεῖν.

χαρτά χαρᾶς ἄξια· "σύμβολον φρονήσεως τὸ διακριτικὸν τῶν χαρτῶν καὶ λυπηρῶν."

χαρτόν· Σοφοκλῆς (Trach. 227) "χαίρειν δὲ τὸν κήρυκα προυννέπω χρόνῳ πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

χαρτοφυλάκιον. τὰ παρὰ τὸ φυλάσσω ἅπαντα διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται, οἷον χαρτοφυλάκιον θησαυροφυλάκιον σκευοφυλάκιον καὶ τὰ τούτοις ὅμοια, πλὴν τοῦ σιτοφυλακεῖον καὶ νομοφυλακεῖον.

Χάρυβδις ἡ ἀναπινομένη θάλασσα περὶ τὰ Γάδειρα καὶ πάλιν ῥαγδαιοτέρως ἐπαναστρέφουσα. εἴρηται δὲ πᾶν τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον. Πρίσκος δὲ (p. 222 Nieb.) λέγει περὶ Χαρύβδεως "παραπλέουσι δὲ τὴν Σικελίαν πρὸς τῇ Μεσσήνῃ κατὰ τὸν πορθμὸν τῆς Ἰταλίας, ἐν ᾧπερ ἡ Χάρυβδις, πνευμάτων ἐπιλαβόντων δυσαῶν αὐτοῖς ἀνδράσι κατέδυσαν" (cf. v. δυσαῶν).

ὅτι Χάρυβδις καὶ Σκύλλα, ἐν στενῷ τό- b
πῳ κειμένη, ὑποδέχεται τὰ τοῦ ὠκεανοῦ ῥεύματα καὶ τοὺς παραπλέοντας βυθίζει. ἐκεῖσε Ὀδυσσεὺς πάντας τοὺς ἑταίρους μετὰ τῶν πλοίων ἀποβαλὼν αὐτὸς μόνος περικαθίσας σανίδι ἐν τοῖς ῥεύμασι τῆς θαλάσσης ἐφέρετο. τοῦτον ἑωρακότες τινὲς Φοίνικες ἐν τοῖς ὕδασι πλέοντα ἀναλαβόντες ἤγαγον ἐν Κρήτῃ πρὸς Ἰδομενέα γυμνόν. τοῦτον ἐξενοδόχησε τῇ ὥρᾳ τοῦ χειμῶνος, καὶ ἀπέπεμψεν εἰς Φαιακίαν τὴν νῦν λεγομένην Κέρκυραν· οἱ δὲ πέμπουσιν αὐτὸν σὺν δυσὶ ναυσὶ καὶ ἑταίροις (cf. Cedrenus p. 132).

χασσάμενος ἀναχωρήσας· Ὅμηρος (Δ 535) "ὃ δὲ χασσάμενος πελεμίχθη." τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀναχωροῦντες διετίνασσον, ἵνα σκεδασθῇ.

χασμᾷ μετεωροφρονεῖς, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. καὶ χασκάζεις· Ἀριστοφάνης (Vesp. 693) "σὺ δὲ χασκάζεις τὸν κωλακρέτην." καὶ χασμήσῃ σύ.

χάσμασιν· "οἱ δὲ Πάρθοι τὰς κεφαλὰς τῶν θηρίων ἁρμόσαντες τοῖς κράνεσιν ἐχρῶντο τοῖς τῶν θηρίων χάσμασι."

χαυλιόδων κεχαλασμένους ἔχων τοὺς ὀδόντας καὶ ἐξέχοντας. καὶ ζῷα χαυλιόδοντα τὰ φαίνοντα ἔξω τοὺς ὀδόντας, οἷον

ἀσπάλαξ ἐλέφας σῦς, καὶ εἴ τι ἄλλο.

χαῦνον ὑψηλόν. ἢ πλατὺ καὶ μέγα· τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. Ἀριστοφάνης Ὄρνισιν (822) "ἐκ τῶν μετεώρων χωρίων χαῦνόν τι πάνυ."

χαυνοπολίτας κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν (sch. A Ach. 635).

χαύνωσιν, τουτέστι λύσιν τῶν δικῶν· "πῶς ἂν - - - δίκην" (cf. v. ἀναπειστηρίαν).

χαυῶνας ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους. ἢ λάχανα ὀπτά (Ierem. 44 19).

χέδροπας ὄσπρια. καὶ ἑνικῶς χέδροψ τὸ ὄσπριον. οὕτως Θουκυδίδης.

χεζητιῶν βουλόμενος χέσαι· Ἀριστοφάνης (Av. 791) "εἴτε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν, οὐκ ἂν ἐξίδισεν εἰς θοἰμάτιον, ἀλλ' ἀνέπτατο, κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτατο," ἀντὶ τοῦ ἀπεπάτησε. δοκεῖ ὁ Πατροκλείδης πολιτικὸς εἶναι καὶ λόγιος, ἄλλως δὲ κατασχημονῶν τῶν στρωμάτων, διὸ καὶ Χεσᾶς ἐλέγετο. καὶ αὖθις - - - θηλυδρίας (cf. v. πρωκτός).

χέζομεν ζημιούμεθα. Ἀριστοφάνης (Eq. 69) "ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μή, πατούμενοι ὑπὸ τοῦ γέροντος ὀκταπλάσιον χέζομεν," ἀντὶ τοῦ πολλαπλάσιον. τὸ δὲ νοούμενον, ὅτι μικροῖς λήμμασιν ὁ Κλέων τῆς πόλεως προδίδωσι τὰ πράγματα.

χεθέντος πλατυνθέντος.

χειᾷ τῇ τῶν δρακόντων καταδύσει, ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρεῖσθαι· (Hom. σ 17) "οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται." τοῦτο γὰρ μόνον μηχανῶνται οἱ ὄφεις, τὸ χωρῆσαι τὸ σῶμα ὥσπερ εἰς ἔλυτρον.

χεῖλος τὸ μέρος τοῦ σώματος.

χεῖμα ὁ χειμών.

χειμαδίῳ τόπῳ ἐφ' οὗ ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι.

χείμαρρος καὶ χειμάρρους ὁ ἐν τῷ χειμῶνι ῥέων. καὶ ὄνομα κύριον.

χειμασκήσαντα· "διάληψιν εἶχε, τὰ στρατόπεδα χειμασκήσαντα βελτίω τὰ πράγματα ὑπελάμβανε γενήσεσθαι" (Polyb. 3 70).

χείμεθλον τὸ ἐν τῷ χειμῶνι γινόμενον ἐν ταῖς ῥήξεσι τῶν δακτύλων ἕλκος.

χειμερία ὥρα. καὶ χειμερίζω τὸ ἐν χειμῶνι διάγω· "ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν," ἀντὶ τοῦ ἐχείμαζε.

χειμερινὸς καιρός.

χειμὼν χειμῶνος. χειμὼν δέ ἐστιν ὁ ὑπὲρ γῆς ἀὴρ κατεψυγμένος διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον. Ὅμηρος (Γ 4) "χειμῶνα φύγον" περὶ γεράνων. λέγει δὲ οὐ τὴν χειμερινὴν κατάστασιν, ἀλλὰ τὸν χειμερινὸν τόπον, τὴν Θρᾴκην· οὐ γὰρ ἐνστάντος χειμῶνος φεύγουσιν, ἀλλὰ προσδοκίας οὔσης.

χειμὼν ὀρνιθίας ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα σορεννὺς ὑπὸ τῆς ψυχρᾶς πνοῆς. τουτέστιν ὁ σφοδρός, ἐν ᾧ καὶ τὰ ὄρνεα φθείρεται. λέγεται δὲ καὶ ἄνεμος ὀρνιθίας. ἢ ὅτι τὰ ὄρνεα ταῦτα χειμῶνος φαίνεται, ὡς Ἄρατός φησι (cf. v. ὀρνιθίας).

χείρ χειρός.

χεῖρα τὸ χειρόγραφον Ὑπερίδης.

χειραγωγία.

χειραλειπτήσας· (Diodor. 26 2) "Φάβιος δικτάτωρ, καθάπερ ἀθλητὴς ἀγαθὸς πολὺν χειραλειπτήσας χρόνον, ἐπὶ τὸν ἀγῶνα κατήντα," ἀντὶ τοῦ ἀσκήσας τὴν χεῖρα.

χεῖρας θεοῦ ὁ Δαβίδ (Ps. 30 5) τὴν τοῦ θεοῦ προμήθειάν φησιν. "εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου" (Luc. 23 46).

χειραψίαι αἱ διὰ τῶν χειρῶν πράξεις· "ἄπαυστοι καὶ συνεχεῖς ἐγίνοντο καταπειρασμοὶ καὶ χειραψίαι καὶ πεζῶν καὶ ἱππέων."

χειρίαν· Σοφοκλῆς (Ai. 495) "μή με τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἀφῇς τινί," τουτέστιν ὑποχειρίαν τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψῃς.

χειριδωτός ὁ χειρωτός.

χειρίζω καὶ κεχειρικότες. "Κάνδιδος ἱστοριογράφος φησὶν (p. 477 Nieb.) ὅτι ὁ Λέων ὁ Μακέλλης, ὁ μετὰ Μαρκιανὸν βασιλεύσας, περὶ τὴν ἐκστρατείαν τὴν κατὰ Βανδήλων ἄπειρα χρήματα δεδαπάνηκεν· ἦσαν γάρ, ὡς οἱ ταῦτα ἐφανέρωσαν κεχειρικότες, διὰ μὲν τῶν ὑπάρχων χρυσίου λίτραι τετρακισμύριαι πρὸς ἑπτακισχιλίαις, διὰ δὲ τοῦ κόμητος τῶν θησαυρῶν ἑπτακισχίλιαι πρὸς μυρίαις καὶ ἀργυρίου λίτραι ἑπτακόσιαι χιλιάδες, ἄτερ τῶν ἀνηλωμένων ἐκ τῶν δημοσίων ἀρχόντων καὶ ἐκ τοῦ βασιλέως Ἀνθεμίου." (S OR 383) "ὄντι χ' ἡ πόλις δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε, ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος, λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται."

χειρισμὸν ἐπιχείρησιν· Πολύβιος (10 41) "ὅταν γένηται ταῦτα κατὰ χειρισμὸν ἰσοταχῆ." καὶ αὖθις "ὥστε μὴ μόνον ἀλόγιστον ἀλλὰ καὶ μανιώδη φαίνεσθαι τὸν

χειρισμὸν τῶν πραγμάτων," ἀντὶ τοῦ τὴν ἐπιχείρησιν, τὴν πρᾶξιν.

χείριστα κάκιστα. καὶ χειριστήν αὐτουργόν, ὑπηρέτην· "ὃ δὲ περὶ τῆς ἐπιβολῆς ἐκοινώσατο, καὶ παρεκάλει χειριστὴν γενέσθαι τῆς πράξεως," ἀντὶ τοῦ ἐπιτελεστήν, πληρωτήν.

χειρόβιοι οἱ ἐκ χειρῶν ζῶντες καὶ ταῖς τέχναις προσκαθήμενοι. λέγονται καὶ ἀποχειρόβιοι.

χειροβρῶτι ὁ δεσμὸς ὁ ἀποβιβρώσκων τὼ χεῖρε.

χειροδάικτα θύματα τὰ ὑπὸ τῶν χειρῶν δαϊχθέντα ⟨sch. S Ai. 219⟩.

χειροδίκαιος.

χειροήθες ἥμερον, πρᾶον. καὶ χειροήθης χειροήθας.

χειρόκμητα ὑπὸ χειρῶν γεγλυμμένα ἢ περιεξεσμένα.

χειρόμακτρον, ὃ παρὰ Ῥωμαίοις καλεῖται μανδήλιον, παρὰ τὸ μάττειν τὴν ὕλην.

χειρομάστης ⟨an χειρόμαντις⟩.

χειρονομεῖν πυκτεύειν· "σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι Γλαῦκος ἦν ἐπιτηδειότατος χειρονομεῖν" ⟨cf. v. Γλαῦκος⟩.

χειροσκοπικόν.

χειροσκόποι οἱ τὰς χειροτονίας ἐπισκοποῦντες.

χειροτονεῖν τὸ αἰδοῖον, τουτέστιν αἰσχρῶς ἀνακινεῖν καὶ ἀποσπερματίζειν.

χειροτονήσαντες ἐκλεξάμενοι.

χειροτονητέον τὴν χεῖρα ἐκτατέον· Ἀριστοφάνης ⟨Eccl. 266⟩ "χαλεπὸν τὸ πρᾶγμ'· ὅμως χειροτονητέον ἐξωμισάσαις τὸν ἕτερον βραχίονα," τουτέστιν ἄχρι τῶν ὤμων γυμνωσάσαις.

χειροτονία ἐκλογή, πάντων κύρωσις· "τῆς ὧν χειροτονίας αὐτοὺς ἀντιπάσης σεβαστοὶ ἀνηγορεύθησαν."

χειρουργίας τόλμης· Ἀριστοφάνης ⟨Lys. 674⟩ "οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας," ἀντὶ τοῦ προσεχοῦς, παρὰ τὸ λίαν παρεῖναι.

χειρουργοὶ ἐγένοντο ἄριστοι καὶ ἀκριβεῖς Φειδίας Λύσιππος Πολύκλειτος. ἀγαλματοποιοί.

Χείρων Κένταυρος, ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν, ὑποθήκας δι' ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα, καὶ ἱππιατρικόν· διὸ καὶ Κένταυρος ὠνομάσθη.

Χείρων Χείρωνος ὄνομα κύριον. χείρονος δὲ τὸ συγκριτικόν.

χειρῶναξ τεχνίτης χειρῶν μόνων δεσπόζων, ἢ διὰ χειρῶν κτεατιζόμενος. ἢ χειρώνακτες διὰ χειρῶν ταλαιπωρούμενοι. "πλῆθος ὅσον θητικὸν καὶ ἐν χειρωναξίαις καὶ ἄλλως ἐγκατῳκισμένον τῇ πόλει συναγαγών."

Χειρώνειον ἕλκος τὸ ἀπὸ πολλῆς στάσεως ἐν τοῖς ποσὶ γενόμενον τραῦμα καὶ διηνεκῶς ἰχῶρας ἐκκρῖνον. ἡ παροιμία ἐπὶ τῶν ἀνηκέστων καὶ ἀνιάτων ἑλκῶν.

χειρῶν νόμῳ· "ὃ δὲ χειρῶν νόμῳ δέχεται τὴν ἐπιστολήν."

χειρώσασθαι ὑποτάξαι· Αἰλιανός "καὶ ἐκ τούτων χειρώσασθαι τὸν ἄνδρα, καὶ ἔχειν αὐτὸν ὡς εἰπεῖν ἰδιόξενον." χηρῶσαι ἐρημῶσαι.

χελιδόνας ἰχθῦς ποιός. λέγεται χελιδὼν καὶ τῶν γυναικῶν τὸ μόριον, καὶ τὸ κοῖλον τῶν ἵππων τῆς ὁπλῆς. ἔνιοι καὶ τῶν κυνῶν τὸ αὐτὸ μέρος, καὶ νόμισμα δὲ ἀργυροῦν Πελοποννησιακόν· καλεῖσθαι δὲ χελιδόνα καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν τοῦ ἀγκῶνος, τὸ κατὰ τὰς καμπάς. λέγεται δὲ Χελιδὼν καὶ ἡ ναῦς ἡ τοὺς εἰς Μασσαλίαν διακομίσασα. καὶ χρησμολόγος δέ τις τῶν πάλαι, καὶ ὁ Κλεοπάτρας κίναιδος.

χελιδόνιον μέλος τῆς χελιδόνος. ἔστι δὲ αὐτῆς ἡ φωνὴ οὐ θρῆνος, ἀλλ' ᾆσμα ἐνδοτικὸν καὶ κελευστικὸν πρὸς ἔργα. διὰ τοῦτο χειμῶνος οὔτε ἵπταται οὔτε φθέγγεται.

χελιδόνων μουσεῖα ⟨A Ran. 93⟩ ἐπὶ τῶν βάρβαρα καὶ ἀσύνετα ποιούντων· καὶ γὰρ ἡ χελιδὼν ἐπὶ τῶν βαρβάρων. ἐπιφέρει γὰρ Θρῃκίη χελιδών, καὶ ἐν τοῖς ἑξῆς ⟨692⟩ "ᾗ περιβρέμεται Θρῃκία χελιδών." καὶ Εὐριπίδης "πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος, χελιδόνων μουσεῖον."

χελιδόνων φάρμακον παρὰ Ἱππώνακτι τὸ φίλτρον τὸ διαγινόμενον, ἐπειδὰν χελιδόνα πρῶτόν τις ἴδῃ.

χελύνη τὸ ἄνω χεῖλος· "εἰς τὴν ὑπερῴαν χελύνην οἰστὸς Μηδικὸς ἐνερριζοῦτο" ⟨cf. v. ὑπερῴη⟩. καὶ αὖθις ⟨A Vesp. 1078⟩ "στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων."

χέλυς ἡ κιθάρα. καὶ ἡ χελώνη ἡ ὀστρακόνωτος.

χελώνας· ⟨A Vesp. 427⟩ "τὰς χελώνας

μακαριεῖν σε τȣ̃ δέρματος" διὰ τὸ κέντρον τῶν σφηκῶν.

χελώνη τὸ χερσαῖον ζῷον, ἡ ὀστρακόνωτος, καὶ τὸ θαλάσσιον. καὶ παρατάξεως ὄνομα. καὶ εἶδος πολεμιστήριον, ἐξ ȣ̔ καὶ χελῶναι χωστρίδες, πολιορκητικὸν μηχάνημα καὶ κριοί. "ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες τὴν Λαΐδα τὴν ἑταιρίδα ξυλίναις χελώναις ἐφόνευσαν τύπτȣσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως ȣ̓́σης. ὕστερον δὲ ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον" ⟨sch. A Plut. 179⟩.

χελώνη μυιῶν ἐπὶ τῶν ἀφροντιστέντων τινός. ⟨Iulian. ep. 59⟩ "τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν, τὸ λεγόμενον; ȣ̓κ οἶσθα ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαρρησιάζετο, τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτȣ παρρησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν, τὸ τῆς παροιμίας;" ⟨cf. v. τεττάρων ὀβολῶν⟩.

χελωνίδος τȣ̃ ȣ̓δȣ̃ τῆς θύρας.

χέμετλα ὡς χέρνιβα.

χεράδος ἡ μετὰ ὀστράκων καὶ λίθων ὕλη ⟨Hom. Φ 319⟩.

χερείων χείριστος.

Χερεκράτης καὶ Χερώνδας διὰ τȣ̃ ε ψιλȣ̃.

χέρηες χείρονες.

Χέρης Χέρητος ὄνομα κύριον.

χεριφυρέα· ἐν ἐπιγράμματι ⟨AP 6 251⟩ "Φοῖβε, δέξαι πλωτήρων μάζης χεριφυρέα δαῖτα."

χερμαδίῳ χειροπληθεῖ λίθῳ· ⟨AP 7 147⟩ "ȣ̓δέ σε χερμαδίων ὦσε κτύπος, ȣ̓ νέφος ἰῶν." καὶ χερμάδος λίθȣ πληρȣ̃ντος τὴν χεῖρα· "οἱ δὲ ἀπὸ τȣ̃ τείχȣς πλῆθος χερμάδων καὶ βελῶν παντοίων κατέχεαν."

χερμαστήρ ἡ σφενδόνη· ⟨AP 7 172⟩ "ῥινȣ̃ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων."

χερνῆτις χήρα, ἡ ἀπὸ χειρῶν ζῶσα, χειρόβιος. "ȣ̔̃ δὲ ὑπὸ τῷ κνέφει σὺν ταῖς χερνήταις τοῖς ἐπὶ τȣ̀ς ἀγρȣ̀ς ἰȣ̃σιν ὑπεξῆλθε" ⟨cf. v. ἀδηλώσας⟩. καὶ χερνήτης ὁ πένης, ἀρσενικῶς· ἐν ἐπιγράμματι ⟨AP 7 39⟩ "οἷς ἔσχον χερνῆτα βίον δηναιόν, Ἀθάνα." "ȣ̔̃ δὲ τὰς θυγατέρας ἐπειρᾶτο ποιεῖν ταλασιȣργȣ̀ς καὶ χερνήτιδας."

χερνίβα τὸ ὕδωρ. φησὶν Ἀριστοφάνης ⟨Av. 854⟩ "τὸ κανȣ̃ν αἴρεσθε καὶ τὴν χερνίβα." χέρνιβα προπαροξυτόνως κατὰ τὴν ἀναλογίαν· παρὰ δὲ τοῖς ποιηταῖς παροξυτόνως.

χερνίβος· ⟨A Lys. 1131⟩ "λοιδορεῖσθαι βȣ́λομαι κοινῇ δικαίως, οἳ μιᾶς τε χέρνιβος βωμȣ̀ς περιρραίνοντες, ὥσπερ συγγενεῖς, Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ· πόσȣς εἴποιμ' ἂν ἄλλȣς, εἴ με μηκύνειν δέοι."

χερνίβων. Δημοσθένης φησὶ ⟨22 78⟩ "καὶ χερνίβων καὶ κανῶν ἁψόμενον." εἴη δ' ἂν ἀπὸ ὀρθῆς τῆς χέρνιψ. τῆς δὲ χέρνιβος μέμνηνται καὶ οἱ κωμικοὶ ὡς παραλαμβανομένης εἰς τὰς θυσίας. Harp.

χερνιπτομένους τὰς χεῖρας νιπτομένȣς· "χερνιπτομένȣς πρὸς αὐτοῖς τοῖς βωμοῖς ἀπέκτειναν."

χερνιφθέντα· ⟨AP 6 156⟩ "σὺν βοῒ χερνιφθέντα," ἀντὶ τȣ̃ τυθέντα. καὶ χερνίψαντο ⟨Hom. Α 449⟩.

χερουβείμ ἐπὶ τῶν ἑνικῶν διὰ διφθόγγȣ, ἐπὶ δὲ τῶν πληθυντικῶν διὰ τȣ̃ ι. ἑρμηνεύεται δὲ γνῶσις πεπληθυσμένη.

Χέρρεως φρȣ́ριόν τι· "ἀπὸ γὰρ τȣ̃ ἐρύματος Χέρρεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχειαν τῇ ὠκύτητι τῶν ποδῶν ὁ Ἴνδακος" ⟨cf. v. Ἴνδακος⟩.

Χέρρη ὄνομα πόλεως.

Χερρόνησος Θρᾴκης χώρα. καὶ πόλις ὑποτελὴς τοῖς Ἀθηναίοις, εὔφορος εἰς πυρῶν γεωργίαν· ὅθεν καὶ ἐσιταγώγȣν οἱ Ἀθηναῖοι. ȣ̔̃ς Κλέων διέσειε ⟨sch. A Eq. 262⟩.

χερσαῖος.

χερσία ἐρημία.

χεσείω ἐπείγομαι χέσαι, ἐπιθυμητικῶς τȣ̃ χέσαι ἔχω. ⟨A Eq. 884⟩ "ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ· τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι," ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοιντο πρὸς λάσανον.

Χετταῖοι ὄνομα ἔθνȣς, οἱ Χαναναῖοι.

χεῦμα ῥεῦμα ὕδατος.

χεύμασι προχοὴ ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχȣσα θάλασσαν.

χέω αἰτιατικῇ.

χηλαί οἱ ἔμπροσθεν τȣ̃ πρὸς θάλασσαν τείχȣς προβεβλημένοι λίθοι διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο, παρὰ τὸ ἐοικέναι χηλῇ βοός ⟨sch. Thuc. 1 63⟩.

χηλαργοῖς τοῖς λευκόποσιν, ἢ ταῖς τα-

χείαις ταῖς χηλαῖς. χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν εἶπε (sch. S El. 861).

*χηλή* ὁπλή, ὄνυξ βοὸς καὶ προβάτȣ καὶ αἰγός. λέγεται δὲ καὶ τὰ τῶν θαλαττίων στόματα χηλαὶ καρκίνων, καὶ τῶν λιμένων αἱ ἐξοχαί.

*χηλὴ ὄρους*· "οἳ δὲ ἀγχȣ̃ τῆς χηλῆς τȣ̃ ὄρȣς ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι," τȣτέςι τῆς ἐξοχῆς.

*χηλός* κιβωτός, ἀπὸ τῆς γινομένης διαστάσεως κατὰ τὴν ἄνοιξιν, ἢ ἀπὸ τȣ̃ χεῖσθαί τι εἰς αὐτήν, οἷον ἐντίθεσθαι, ἢ ἀπὸ τȣ̃ τὰ ἐντιθέμενα χωρεῖν. καὶ *χηλῷ* κιβωτῷ.

*χημάς* ὁ ἰχθῦς.

*χημεία* ἡ τȣ̃ ἀργύρȣ καὶ χρυσȣ̃ κατασκευή, ἧς τὰ βιβλία διερευνησάμενος ὁ Διοκλητιανὸς ἔκαυσεν.

ὅτι διὰ τὰ νεωτερισθέντα Αἰγυπτίοις Διοκλητιανὸς τούτοις ἀνημέρως καὶ φονικῶς ἐχρήσατο, ὅτε δὴ - - - ἀνταίρειν (cf. v. Διοκλητιανός).

*χήμη* εἶδος ὀστρέȣ.

*χήν* χηνός τὸ χηνάριον.

*χηναλώπηξ* εἶδος ὀρνέȣ. ȣ̃τω δὲ ἐλέγετο καὶ Λυσίστρατος, ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο· πένης καὶ αὐτὸς καὶ κυβευτής. ἐν ἀγορᾷ Χολαργέων· Χολαργεῖς δὲ δῆμος τῆς Ἀττικῆς (sch. A Ach. 855).

*χῆνα ὀμνύναι.* ὑπὲρ τȣ̃ μὴ τȣ̀ς θεȣ̀ς ἐπὶ πᾶσιν ὀνομάζειν Ῥαδάμανθυς ἐκέλευε κατὰ χηνὸς καὶ κριȣ̃ ὀμνύναι, ȣ̓χ, ὥς τινες, Σωκράτης.

*Χηνέας* ὄνομα κύριον.

*χηνίσκος* μέρος τι τȣ̃ πλοίȣ.

*χήρα.* καὶ *χηρεία* ἐκ τȣ̃ χηρεύω.

*χηράμβας.*

*χηραμοί* οἱ φωλεοί, τῶν θηρίων αἱ καταδύσεις.

*χηρεύω* γενικῇ.

*χῆρος* ὁ μετὰ τὴν πρώτης στέρησιν δευτέρᾳ μὴ συνεζευγμένος γυναικί.

*χηρώσειεν* ἐρημώσειε.

*χηρωσταί* οἱ ἀλλότριοι τȣ̃ γένȣς κληρονόμοι. Hom. *E* 158.

a *χήτει* στερήσει· "μὴ βραδύνειν ἐν τοῖς ἐπείγȣσι χήτει ξένων τε καὶ ὀθνείων ξυνεργῶν."

b *χήτει* ἐνδείᾳ, σπάνει, στερήσει· Ἀγαθίας (2 4) "οἳ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων ἔθλιβον τȣ̀ς βότρυας καὶ ἐνεφορȣ̃ντο τȣ̃ γλεύκȣς· ἔνθεν αὐτοῖς ἡ γαστὴρ ἐπὶ μέγα ἐφέρετο καὶ διέρρει."

*χθαμαλά* ταπεινά, ὁμαλά, ἴσα. "δοκιμάζων, ᾗ ἅμα μὲν στερεὸν ἅμα δὲ χθαμαλὸν ἦν τȣ̃ ποταμȣ̃." καὶ *χθαμαλώτατον* ταπεινότατον.

*χθές.* τὸ κατ᾽ ἀρχὴν ε ἀφελὼν λέγει ὁ Πλάτων· τὸ δὲ ἐχθές παρὰ τὸ ἐκθεῖν, ὃ ἔςι παρελθεῖν. ἰςέον δὲ ὅτι ὁ μὲν Πλάτων (RP in.) πάρεργȣ εἶχε τὸ κατέβην, τὸ δὲ χθές πάρεργον· ὁ δὲ θεολόγος (or. 40) τὸ χθές εἶχε σκοπόν, τὸ δὲ τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ πάρελκον. ὃ ȣ̓̃ν ἕκαστος εἶχε προηγούμενον, ἐκεῖνο πρȣ́τρεψε (an προὔταξε).

*χθεσιφωνῶν* κακολογῶν.

*χθιζοί* χθεσινοί, ἀργοί, ἄχρηστοι. καὶ *χθιζινός* ὁ χθεσινός.

*χθονία* ἀντὶ τȣ̃ σκοτεινή. Πολιτείας δεκάτῃ (p. 619) "μὴ χθονίαν καὶ τραχεῖαν πορεύεσθαι ἀλλὰ λείαν καὶ ȣ̓ρανίαν." ἀνθυποφέρει γὰρ τῇ μὲν τραχείᾳ τὴν λείαν, τῇ δὲ χθονίᾳ τὴν ȣ̓ρανίαν. ἀντὶ τȣ̃ λαμπράν. καὶ παρ᾽ Ἀλκμᾶνι δέ, ὅτε φησὶ χθόνιον τέρας ἐπὶ τῆς ἔριδος, τινὲς ἀντὶ τȣ̃ στυγνὸν ἐδέξαντο, ἔνιοι δὲ ἀντὶ τȣ̃ μέγα, ἐπεὶ πρὸς αὐτὴν λέγει.

*χθόνια λουτρά* τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τοὺς τάφους λουτρά.

*χθονίας βροντάς.* (A Av. 1743) "κλῄσατε χθονίας βροντάς" ἀντὶ τοῦ ὑμνήσατε. χθονίας δὲ φοβεράς· πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογȣ̃σιν. οἳ δὲ τὰς μέγαν ἦχον ἀποτελȣ́σας. ἢ τὰς ἀπὸ τῆς γῆς γινομένας· ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν ȣ̓ρανόν, καὶ δοκȣ̃σιν οἱ ἄνθρωποι ἐξ ȣ̓ρανȣ̃ γίνεσθαι τὰς τοιαύτας βροντάς. ἢ τὰς μέχρι τῆς γῆς ἀκȣομένας. ἢ τὰς τὴν γῆν κινȣ́σας. καὶ χθόνιος Ζεὺς ὁ καταχθόνιος.

*χθονίων* ἐπιγείων.

*χθονοπλάστου* ἀπὸ γῆς πλασθέντος.

*χθονοστιβῆ* τὰ ἐν τῇ γῇ, τὰ ἐπίγεια· (S OR 301) "ἄρρητά τ᾽ οὐράνιά τε καὶ χθονοστιβῆ."

*χθών* γῆ.

*χιάζειν.* Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς

Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον. ὡς παρ' Ἀριστοφάνει τεταγμένου "ὑποτείνει δέ τις αὐτῶν βωμολοχεῦσαι, αὐτὸς δείξας ἐν ἁρμονίαις χιάζων ἢ σιφνιάζων."

Χιβούλδιος. οὗτος ἦν ἐκ τῆς Ἰουστινιανοῦ βασιλέως οἰκίας, ἐς ἄγαν μὲν δραστήριος τὰ πολέμια, ἐς τοσοῦτον δὲ χρημάτων κρείσσων ὥστε ἀντὶ μεγίστου κτήματος ἐν τῇ ὁσίᾳ τῇ αὐτοῦ εἶχε τὸ κεκτῆσθαι μηδέν. ὥστε τούτου στρατηγήσαντος Θρᾴκης καὶ ἐπὶ τῇ τοῦ Ἴστρου φυλακῇ καταστάντος καὶ ἐν πολέμῳ ἀναιρεθέντος συμβῆναι τὸν Ἴστρον ἐσβατὸν κατ' ἐξουσίαν τοῖς βαρβάροις γενέσθαι, καὶ τὰ Ῥωμαίων πράγματα εὐέφοδα γέγονε, καὶ ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ ἀνδρὸς ἑνὸς ἀρετῇ ἀντίρροπος γενέσθαι ἐν τῷ ἔργῳ τούτῳ οὐδαμῇ ἴσχυσεν (Procop. Goth. 3 14).

a χίδρα στάχυες νεογενεῖς, ἢ κρίμνα. ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα. ἢ τὰ ὄσπρια. ἰδίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς. χίδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι.

b χίδρα τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα ἀπὸ τῶν ἀσταχύων σίτου καὶ κριθῆς (cf. v. πεφρυγμένα).

c χίδρα. χίδρον τὸ ἀπὸ ἐλύμου γιγνόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν· ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν.

χίδρα ἐρεικτά ἐκ κριθῆς νέας κρινόμενα, ὡς σεμίδαλις (Levit. 2 14).

χιλή τροφή. καὶ χιλός ἀρσενικῶς ἡ τροφή· Ξενοφῶν (Anab. 4 5 25) "τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο." "διὰ τῆς ἑτέρης χώρης, τῇ χιλός τε ἵπποις καὶ ὕδατα ἦν" Ἡρόδοτος (4 140). "ὅσος τε σῖτος καὶ χιλὸς ἐν τῇ χώρᾳ, εἴσω τειχῶν κομίζεσθαι." ἀρσενικῶς δὲ ὁ χιλός. καὶ Ἀχιλλεὺς ὁ ἥρως παρὰ τὸ μὴ μετασχεῖν χιλοῦ· μυελοῖς γὰρ ἐτρέφετο.

ὅτι ὁ χιλὸς ἐν χέρσῳ φύεται· τοῦτο δέ ἐστι χόρτος. ὅθεν τὸ ἐκκεχιλωμένην ἀντὶ τοῦ ἐψευσμένην ἢ κεχερσωμένην, οἷον ἐξηλειμμένην.

χίλια ὁ ἀριθμός.

χιλίαρχος. ιε' πρὸς τοῖς τριακοσίοις ἐτῶν ἀπὸ τοῦ πρώτου συνοικισμοῦ τοῦ ἄστεος διαγεγονότων χιλίαρχοι τὴν Ῥωμαίων ἀρχὴν παρειλήφασι.

χίλιοι διακόσιοι. Ἰσαῖός φησιν "οὐδεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων." οἱ πλουσιώτατοι Ἀθηναίων χίλιοι καὶ διακόσιοι ἦσαν, οἳ καὶ ἐλειτούργουν. μνημονεύουσι δὲ αὐτῶν καὶ ἕτεροι ῥήτορες. Harp.

χιλιοστύς χίλιοι ἄνδρες. σημεῖα δὲ ἦν τοῖς Ἰνδοῖς καθ' ἑκάστους καὶ ἄλλα τῶν γενῶν πάτρια· τῶν δὲ ἱππέων - - - ἀληθινοῦ (cf. v. Ἰνδοί).

χιλιωθέντα ἀντὶ τοῦ χιλίας ὀφλόντα, ὡς Λυκοῦργος. ὁ δ' αὐτὸς καὶ χιλιῶσαι ἔφη. Harp.

χιλιῶν δραχμῶν. περισπῶσιν οἱ Ἀττικοί.

Χίλων Χίλωνος Δαμαγήτου Λακεδαιμόνιος, εἷς τῶν ζ' σοφῶν· ὃς ἦν βραχυλόγος. ὅθεν Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ. καὶ Χιλώνειος τρόπος ἡ βραχυλογία· ὁ γὰρ Χίλων βραχυλόγος ἦν.

χίμαρος ὁ τράγος, καὶ χίμαιρα ἡ αἴξ. χείμαρρος δὲ ὁ ἐν τῷ χειμῶνι ῥέων ποταμός.

χίμετλα τὰ ἀποκαύματα λεγόμενα, ἅπερ γίνεται χειμῶνος ἐν τοῖς ποσί.

Χῖον κεράμειον. ζήτει ἐν τῷ Ἀθήναιος.

χιόνος. καὶ χιονωθήσονται ψυχρανθήσονται, ἢ λαμπρυνθήσονται· (Ps. 67 15) "χιονωθήσονται ἐν Σελμών."

Χίος ἡ νῆσος. λέγεται καὶ Αἰθάλη.

χιράς εἶδος πάθους.

χιτών ἱμάτιον ἀνδρικόν. καὶ χιτωνίσκος χειριδωτός, οἷος πρέπει δούλῳ παιδί (Procop. Arc. 9). χιτὼν δὲ ἐστὶ λεπτὸν ἱμάτιον, ὑποκάμισον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι· (A Ran. 1078) "χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε, κἂν ταῦτα λέγων ἐξαπατήσῃ, περὶ τοὺς ἰχθύας ἀνέκυψε," τουτέστιν ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια. τουτέστι γλίσχρων εὑρίσκεται.

χιτωνίσκους· Ξενοφῶν (Anab. 5 4 13) "χιτωνίσκους δὲ ἐνδεδύκεσαν ὑπὲρ γονάτων πάχος ὡς λινοῦ στρωματοδέσμου."

χιών. ὅτι ἡ λευκότης τῆς χιόνος χωριστόν ἐστι συμβεβηκός. συνίσταται γὰρ ἐκ νέφους ὕλη καὶ πήξει, δι' ὑπερβολὴν ψυχρότητος γινομένη μετὰ ἐναπολήψεως πνεύματός τινος, ᾗ ἐξ ἀνάγκης ἡ λευκότης ἕπεται. ἡ γὰρ ἀέρος τοῦ ἐντὸς ἐν τῷ νέφει ἐναπόληψίς τε καὶ πῆξις καὶ τρῖψις ἐν τῇ τοῦ νέ-

φυς πήξει, ἥτις δι' ὑπερβολὴν ψυχρότητος γινομένη φθάνει τὴν ἔκκρισιν, αὕτη τῦ τοιούτου χρώματος ἡ αἰτία. τριβόμενον γὰρ καὶ κινούμενον τὸ πνεῦμα λευκαίνεται· διὰ τῦτο γὰρ καὶ ὁ ἀφρὸς λευκός. τρῖψις δέ τις καὶ κίνησις γίνεται ἐν τῇ πήξει τῦ νέφυς, τοῦ ἐν αὐτῷ πνεύματος συστελλομένου καὶ εἰς τὸ βάθος ἀποκλειομένου καὶ τὴν ἔκκρισιν ἐμποδιζομένου. καὶ ἔστιν ἐκεῖνα μὲν τῆς οὐσίας τῆς χιόνος, τὸ δὲ λευκὸν ἐπακολουθῦν ἐκείνοις. καὶ ἔστι πάθος τι συμβεβηκὸς τῷ μὴ εἶναι συμπληρωτικὸν τῆς οὐσίας τῆς χιόνος· εἰ γὰρ μήτε ὕλη τῆς χιόνος τὸ λευκὸν μήτε εἶδος, οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς χιόνος. τῷ δὲ συμπτώματι τῆς ὕλης ἐπιγιγνόμενον ἐν τῇ εἰς τοιῦτον εἶδος μεταβολῇ, τούτῳ ἀχώριστόν ἐστιν αὐτῆς. "πολλοὶ δὲ τὺς ὀφθαλμοὺς ὑπὸ τῆς χιόνος διεφθάρησαν, καὶ τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες ἕτεροι. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι πρὸ τῶν ὀφθαλμῶν ἔχων ἐπορεύετο, τῶν δὲ ποδῶν, εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰ τὴν νύκτα ὑπολύοιτο. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο ἐς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα ἐπήγνυντο." Ξενοφῶν ἐν τῇ Ἀναβάσει ⟨5 4 13⟩.

Χιωνίδης Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι [τῆς ἀρχαίας κωμῳδίας], διδάσκειν δὲ ἔτεσιν η' πρὸ τῶν **Περσικῶν**. τῶν δραμάτων αὐτοῦ ἐστὶ ταῦτα, **Ἥρως**, **Πτωχοί**, **Πέρσαι ἢ Ἀσσύριοι**.

χλαῖνα τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον, παρὰ τὸ χλιαίνω. χιτὼν δὲ τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποκάμισον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι.

χλαῖναι περιβολαί. διαστέλλει Ὅμηρος τὸν πέπλον ἀπὸ τῶν χλαινῶν· ὅς ἐστι γυναικεῖον ἔνδυμα, ἐμπερόνημα. τὸ δὲ αὐτὸ καλεῖ καὶ ἑανόν.

χλαμύς. Νουμᾶς ὁ πρῶτος Ῥωμαίων βασιλεὺς πρεσβείαν Ἰσαύρων δεξάμενος, καὶ τὸ σχῆμα τῆς φορεσίας αὐτῶν καταμαθών, ἐξ αὐτῶν λαβὼν ἐφεῦρε τῆς χλαμύδος στολήν, ἑνώσας τὴν βασίλειον τῇ συγκλήτῳ, οὐκ ἔξωθεν ἐπιθεὶς ἀλλ' ἔσωθεν ἐμβαλὼν τὴν τῆς πορφύρας βαφήν, ὥστε ἐξ ἑκατέρου τούτων ἓν ἀποτελεσθῆναι σῶμα, καὶ ἐν τοῖς τῶν βυλευτῶν ὑποδήμασιν ἀποσημαίνεσθαι τὸ Ῥωμαϊκὸν κάππα. καὶ παροιμία ἡ Συλοσῶντος χλαμύς, ἐπὶ τῶν ἀλαζονευομένων ἐπ' ἐσθῆτι· οὗτος γὰρ εἶχε πολυτελῆ ἐσθῆτα, ἣν ἐδωρήσατο Δαρείῳ ἰδιωτεύοντι ἔτι, καὶ ἔτυχε μετὰ ταῦτα καθόδου, βασιλεύσαντος Δαρείυ ⟨cf. Malelas p. 38⟩.

χλανίς ἱμάτιον στρατιωτικόν.

χλευάζω αἰτιατικῇ.

χλευασία ὕβρις τις, εἶδος οὖσα τῆς ὕβρεως. καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῆς· τῆς γὰρ ὕβρεως ἡ διὰ καταγέλωτος γινομένη χλευασία καλεῖται, ἡ δὲ διὰ πληγῶν ὕβρις ὁμωνύμως. καὶ αὖθις Αἰλιανός "περιιὼν δὲ ἐς τὸν νεών, χλευάζων γε μὴν τὺς θεῦ θεραπευτῆρας καὶ ἐπετώθαζε."

χλιδανόν τρυφερόν.

χλιδή τρυφή, ἔκλυσις καὶ μαλακία. εἴρηται δὲ ἀπὸ τοῦ ἐχλιάνθαι. Ξενοφῶν ⟨Cyr. 4 5 54⟩ "οὐκ ἐν χλιδῇ τεθράμμεθα ἀλλὰ χωριτικῶς." καὶ αὖθις "συγχωρούντων ἐπαυρέσθαι τῆς χλιδῆς." καὶ αὖθις "οὕτω μὲν οὖν ἐν τῷ Τούρκων ἡγεμόνι ἔνεστι χλιδῆς." καὶ "χλιδαῖς καρατόμοις" τοῖς ἀπὸ τῦ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδὰς ἤτοι καθόλυ τὺς πλοκάμυς, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς, ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμιος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. Σοφοκλῆς ⟨El. 52⟩ "ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο, λοιβαῖς τε πρῶτον καὶ καρατόμοις χλιδαῖς στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν."

χλιδόνας κόσμυς περὶ τὺς βραχίονας. καλοῦνται δὲ βραχιόλια.

χλίδος. Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα περὶ χωρίυ βλάβης ⟨55 22⟩ "ἔπειτα δὲ τὸ χλίδος ἐκβαλὼν εἰς τὴν ὁδόν, ἐξ ὧν ὑψηλοτέραν καὶ στενοτέραν τὴν αὐτὴν πεποιῆσθαι ὁδὸν συμβέβηκε." πᾶν πλῆθος χλίδος λέγεται, καὶ ἔστιν οἷον σωρός τις, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων. καὶ ἡ τῶν ποταμῶν πρόσχωσις, καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται. νῦν δ' ἔοικεν ὁ ῥήτωρ λέγειν ὅτι χῶν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίυ σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ὑποσημαίνει. Harp.

χλίδωνος.

χλιδῶσαι τρυφῶσαι.

χλοάω χλοῶ.

*χλοερός* ὁ χλωρός.

*χλόη* βοτάνη.

*Χλομάρων.* "ἀλλ' ὅτε ··· Χλομάρων" (cf. v. ἀπεπόνων).

*χλοῦναι* λωποδύται οἱ ἐν τῇ χλόῃ εὐναζόμενοι. καὶ *χλούνης* μονιός, πλήκτης, κακοῦργος, χαλεπός. καὶ ὁ ἀπόκοπος· "χλούνης τε καὶ γύνανδρος ἀνήρ, εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος." "ὁ πρὸς Στρατοκλέα Ἀθήνησι δᾳδουχήσας, ὁ χλούνης τε καὶ γύννις, καταγοητευθεὶς καὶ οἷον ἐν δεσμῷ τινὶ ἀφύκτῳ πεδηθείς" (Aelianus: cf. v. δᾳδουχεῖ).

*Χλούνειον* ὄνομα τόπου.

*Χλωθαῖος* ὄνομα κύριον.

*Χλωθάριος* ὄνομα κύριον.

*Χλωθόμυρος* ὄνομα κύριον.

*χλωρανθείς* ἀντὶ τοῦ χλωρὸς γεννηθείς. οὕτω Σοφοκλῆς.

*χλωρεῖον* εἶδος ζῴου.

*Χλωρίς* ὄνομα κύριον.

*χλωρόν* τὸ ἀκμάζον Μένανδρος.

*χλωρός.* ἀπὸ τοῦ χλόη χλοερός καὶ χλωρός, ἀπὸ δὲ τούτου τὸ ὠχρός. καὶ *χλωρότης*.

*χνόας* τὰς σύριγγας τοῦ ἄξονος. σῦριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. εἴρηται δὲ βαρέως· τὰ γὰρ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται, χνόη φθόη χλόη. τὸ δὲ πνοή οὐκ ἔχει δασύ (sch. S El. 717).

*χνοῦς.*

*χνοωδεστέρα* λεπτοτέρα· "ἥ τε ὑποκειμένη γῆ ψάμμου πάσης χνοωδεστέρα διὰ λεπτότητα."

*χοᾶ.* χοῦς μέτρον Ἀττικόν, χωροῦν κοτύλας η'. Ἀριστοφάνης (Ach. 1085) "ἐπὶ δεῖπνον ταχὺ βάδιζε, τὴν κίστιν λαβὼν καὶ τὸν χοᾶ." οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα καὶ κίστιν καὶ χοᾶ. Ὅμηρος περὶ τῆς κίστεώς φησι (ζ 76, γ 480) "μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα, ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες." χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνήσωσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ τῷ Ὀρέστῃ γενομένην αἰτίαν.

καὶ παροιμία "ἐξ χοᾶς χωρήσεται" (A Nub. 1240) ἐπὶ τῶν παραληρούντων. τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. καὶ αὖθις (Eccl. 44) "τὴν ὑστάτην ἤκουσαν οἴνου τρεῖς χοᾶς ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα." ὑποπίνοντες ἔκαπτον φρυκτὰς ἐρεβίνθους.

*χοάνης* χωνίου. καὶ *χόανα* τὰ μέταλλα.

*χοάς* ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς, ἢ σπονδάς. "ἐκπίπτει χρησμός ··· ἄγειν" (cf. v. χρησμός). λέγονται καὶ θυσίαι νεκρῶν. Σοφοκλῆς (OC 469) "πρῶτον μὲν ἱερὰς ἐξ ἀειρύτου χοὰς κρήνης ἐνέγκου, δι' ὁσίων χειρῶν θιγών. ὅταν δὲ χεῦμα τοῦτ' ἀκήρατον λάβω; κρατῆρές εἰσίν, ἀνδρὸς εὔχειρος τέχνη, ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους."

*χοᾶς.* ὅτε ἐπὶ μέτρου τίθεται, περισπᾶται.

*Χοάσπειον* *ὕδωρ.* καὶ *Χοάσπης* ποταμός, καὶ κύριον ὄνομα.

*Χοβάρ* ὄνομα ποταμοῦ.

*χοεῖον* παχὺ ἔντερον.

a *χόες.* ἔστιν ἑορτὴ Ἀθήνησιν ἀγομένη μηνὶ ἀνθεστηριῶνι. τὴν δὲ ἑορτήν φασιν οὕτως γεγονέναι. ὅτι Ὀρέστης ἀνελὼν τὴν μητέρα ἦλθεν εἰς Ἀθήνας, καὶ ἐδέξαντο αὐτὸν Ἀθηναῖοι καὶ εἱστίασαν, οὐ μὴν ἐκοινώνησαν αὐτῷ τοῦ οἴνου, ἀλλὰ χωρὶς χοᾶ παραθεὶς αὐτῷ ὁ δῆμος οὕτως εἱστιᾶτο, ἀπονείμας ὀλίγον τι χώρας τῷ Ὀρέστῃ.

b καὶ ἄλλως. ἑορτὴ Ἀθήνησι χόες ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἦλθεν εἰς Ἀθήνας παρὰ Πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε βασιλεύων τῶν Ἀθηναίων. κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος μὴ καθαρθέντος αὐτοῦ τὸν φόνον, ὡς ἂν μὴ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίνοι, ἵνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοᾶ (sch. A Eq. 95).

c *χόες.* ἑορτή τις ἦν παρ' Ἀθηναίοις, ἀγομένη ἀνθεστηριῶνος δωδεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν τὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ πιθοίγια χόας χύτρους. Harp.

d καὶ αὖθις. ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος (ἦν δὲ ἑορτὴ Διο-

νύσου ληναίου), ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι. χοᾶ οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσεν μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστῃ, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὐτὸν πίνων μόνος· καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ χόες.

Χοζίας ὄνομα κύριον.

χοή καὶ χοαί ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χόης ποταμός.

χοΐδια· "σταμνία κατεσκεύασαν χοΐδια τὸ μέγεθος, λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως."

χοϊκός ὁ πήλινος.

Χοινίκαιον ὄρος (an **Φοινίκαιον**).

a χοίνικες. οὐ μόνον τὸ μέτρον ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα. αἱ χοίνικες πέδαι τινές εἰσι. χοῖνιξ δὲ πᾶν περιφερές, διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. Ἀριστοφάνης Πλούτῳ (275) "αἱ κνῆμαι δέ σε βοῶσιν ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι."

b χοίνικες οἷς τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι. "σπανιώτερον δὲ τὸ γένος τῶν θεωρητικωτάτων ψυχῶν ἢ τὸ τοῦ χοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· οἷος ἦν Ἀμοῦς καὶ Ἀντώνιος" (Synes. p. 48).

χοιράδες πέτραι λεῖαι ἐν θαλάσσῃ, ἢ ἐξοχαί· ἢ ὄχθοι πετρῶν.

Χοιρίλη ἡ Ἑκάβη (sch. Eur. Phoen. p. 252 Geel.).

a Χοιρίλος Ἀθηναῖος τραγικός, ξδ' ὀλυμπιάδι καθεὶς εἰς ἀγῶνας· καὶ ἐδίδαξε μὲν δράματα ξ' καὶ ρ', ἐνίκησε δὲ ιγ'. οὗτος κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε.

b Χοιρίλος Σάμιος· τινὲς δὲ Ἰασέα, ἄλλοι δὲ Ἁλικαρνασσέα ἱστοροῦσι. γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν, ὀλυμπιάδι οε', νεανίσκον ἤδη εἶναι. δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντα λόγων ἐρασθῆναι· ὃ τινὸς αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. ἐπιθέσθαι δὲ ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. ἔγραψε δὲ ταῦτα, τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη. Λαμιακά. καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

χοιρῖναι κόγχαι θαλάσσιαι, αἷς καὶ ἐν τοῖς δικαστηρίοις ἐχρῶντο Ἀθήνῃσι. καὶ ἡ θρὶξ τοῦ χοίρου. (A Vesp. 348) "οὕτω κιττῶμαι διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν."

χοιρίων μυστηρικῶν. ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος ἐθύετο· ἀνάκειται γὰρ τὸ ζῷον τῇ θεῷ (sch. A Ach. 747).

χοιρογρύλλιος ὕστριξ, ἀκανθόχοιρος. τουτέστιν ἐχῖνος χερσαῖος.

χοιρόθλιψ· (A Vesp. 1355) "ὦ οὗτος τυφεδανὲ καὶ χοιρόθλιψ."

χοιροκομεῖον πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. ἢ ὁ πάτταλος ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. Ἀριστοφάνης (Lys. 1075) "ἀπὸ τῆς Σπάρτης οἵδε πρέσβεις ἕλκοντες ὑπήνας χωροῦσιν, ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες," ἐπεὶ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες.

χοῖρος τὸ ζῷον. παρὰ Κορινθίοις δὲ τὸ γυναικεῖον αἰδοῖον. ἔνθεν καὶ παροιμία "Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν," ἀντὶ τοῦ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ· πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι.

χολάδες τὰ ἔντερα· ἐν ἐπιγράμματι (AP 6 81) "ἀντιβίων τε πολλάκις ἐγχείην γευσαμένην χολάδων."

χολαῖον ἧπαρ.

Χολαργέων. Χολαργεῖς δῆμος τῆς Ἀττικῆς. ἡ εὐθεῖα Χολαργεύς.

χολέρα. καὶ χολεριῶ ῥῆμα.

χοληδόχον ἀγγεῖον.

χόλικες τὰ παχέα ἔντερα τῶν βοῶν. ταῦτα δὲ οὐχ ἱεροῦντο ὡς τὸ ἄλλο σῶμα. τινὲς δὲ χόλικά φασιν εἶδος ἰχθύος (sch. A Pac. 716). θηλυκῶς δὲ ἡ χόλιξ.

Χολλεῖδαι δῆμος τῆς Λεοντίδος. Harp.

Χολοδογαμόρ ἐθνικόν.

χόλον ὀργήν, ἀλλὰ πρόσκαιρον, παρὰ τὸ χεῖσθαι.

χολῷ δοτικῇ.

χολωσέμεν εἰς ὀργὴν ἐμβαλεῖν (Hom. Α 78).

χολῶσι· (A Nub. 830) "ἐς τοσοῦτον μα-

νιῶν ἐλήλυθας ὥστ' ἀνδράσιν πείθῃ χολῶσι."

Χόνας ὄνομα ἔθνους.

χονδρῖτις σεμίδαλις.

χόνδρος τοῦ στομάχου τὸ ἔντερον. καὶ χόνδροι ἁλῶν θρόμβοι, παχὺς ἅλς.

χονσά παρὰ Βουλγάροις οἱ κλέπται.

a χοός· "ἀνατετραμμένου χοός" Ἀριστοφάνης ⟨Pac. 736⟩ ἀντὶ τοῦ ἀνακαμφθέντος, ἢ κενωθέντος εἰς γῆν, ὥσπερ οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ μέθης ἐν τῷ ὑπηρετεῖν. καὶ παίζοντες τὰ τοιαῦτά φασι.

b χοός διξέστου· χοῦς γὰρ δύο ξέσται, χοεὺς δὲ ἕξ. Ἀριστοφάνης ⟨Thesm. 353⟩ "εἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται."

χόρδευε τέμνε, τουτέστι σύμπλεκε ἀλλήλοις καὶ συγκύκα· τὰ γὰρ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσιν. ἀπὸ τῆς τέχνης οὖν τοῦ ἀλλαντοπώλου τὸ ὄνομα εἴρηται. ὥσπερ γὰρ γεμίζεις καὶ πληροῖς τὰ ἔντερα παντὸς τοῦ φυράματος, οὕτω χόρδευε καὶ τάραττε καὶ τὰ πολιτικὰ καὶ συντάραττε καὶ συμφύρα τὰ πράγματα, "ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς," ἡδύσμασι χρώμενος καὶ ἀρτύων κακίαις ⟨sch. A Eq. 214⟩.

χορδή νευρά, καὶ τὸ παχὺ ἔντερον τοῦ προβάτου.

χορείαν οἱ παλαιοὶ τὴν μετὰ ᾠδῆς ὄρχησιν. δύο δὲ ··· συσφαιριστής ⟨cf. v. ὄρχησις⟩. καὶ χορεῖον ἡ χόρευσις.

χορευτής ἐπιστήμων.

χορηγία δόσις. καὶ Πολύβιος "μὴ οἷον κατὰ θάλατταν τὰς παρασκευὰς καὶ τὰ χορήγια παρακομίζειν τοῖς στρατοπέδοις, μηδὲ ἐπὶ ὑποζυγίων, ἀλλ' ἐν ταῖς πήραις δέχ' ἡμερῶν ἔχοντας ἐφόδια." καὶ αὖθις Πολύβιος ⟨cf. v. ἐσπούδαζον⟩ "καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμός, ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν," τουτέστι παροχήν.

χορηγός ὁ τοῦ χοροῦ ἡγούμενος καὶ δοτήρ.

χορηγῶ δοτικῇ.

χορίαμβος μέτρον στίχων.

χορικός ὁ τοῦ χοροῦ ἐξάρχων. τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκριτικὰ μέλη ἐποίει καὶ αὐτὸς ὑπεκρίνετο· διὸ καὶ χορικὰ λέγεται ⟨cf. v. μύρμηξ⟩.

Χορίλη ἡ Ἑκάβη ⟨an Χοιρίλη⟩.

χόριον τὸ κάλυμμα τὸ συγγενόμενον ἐκ τῆς κοιλίας τοῖς βρέφεσι.

χοροβατῶ τὸ εἰς χορὸν βαίνω.

χοροδέκτης ὁ τοῦ χοροῦ προεξάρχων· "ὥσπερ οὖν παρά τινος χοροδέκτου λαβεῖν τὴν στάσιν" ⟨cf. v. ἀσκὸς Κτησ.⟩.

χοροῖσι τῶν τραγῳδῶν ἄχθεται," ἐπὶ τῶν πεινώντων ὡς μακρῶν ὄντων τούτων. Ἀριστοφάνης ⟨Av. 791⟩ "εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο, ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε."

χοροιτύπος ἐν τῷ χορῷ τύπτων.

χορὸν δίδωμι ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες ἀλλὰ οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

χορός τὸ σύστημα τῶν ἐν ταῖς ἐκκλησίαις ᾀδόντων. διῃρέθησαν δὲ οἱ χοροὶ τῶν ἐκκλησιῶν εἰς δύο μέρη ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου καὶ Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας, διχῇ τοὺς ψαλμοὺς τοὺς Δαβιδικοὺς ᾄδοντες. ὅπερ ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον εἰς πάντα περιῆλθε τῆς οἰκουμένης τὰ πέρατα. a

χορός καὶ οἱ χορευταὶ καὶ ὁ τόπος, ἐν ᾧ τὸ σύστημα τῶν χορευτῶν. Ὅμηρος ⟨Σ 590⟩ "ἐν δὲ χορὸν ποίκιλλεν." b

χορὸς τραγικὸς ἐκ ιε' προσώπων, χορὸς κωμικὸς ἐξ κδ' ⟨sch. A Eq. 586⟩. c

χοροστατῶν χοροῦ κατάρχων.

χορτάζω γενικῇ.

χορταῖος ὁ δασὺς καὶ μαλλωτὸς χιτών.

Χορυμαῖοι ἔθνος.

Χοσβίας ὄνομα κύριον, ὁ ὑπὸ τοῦ ἀρχιερέως Φινεὲς συνδιαφθαρεὶς τῷ Ζαμβρῇ ⟨Numer. 25 14⟩.

Χοσρόης ὁ Περσῶν βασιλεύς. ὑμνοῦσιν αὐτὸν καὶ ἄγανται πέρα τῆς ἀξίας μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥωμαίων ὡς λόγων ἐραστὴν καὶ φιλοσοφίας τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλληνικῶν συγγραμμάτων. καὶ τοίνυν φασὶν ὅτι δὴ ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου, τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων ὅτε ὁ Γοργίας, οὐ μὲν οὖν οὐδὲ ἄλλος τις τῶν

γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης. "ἐγὼ δὲ" φησὶν Ἀγαθίας (2 28) ὅπως αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκροτάτης, οὐκ ἄν ποτε οἰηθείην. πῶς μὲν γὰρ οἷόν τε ἦν τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων καὶ ἐλευθέριον καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει πρόσφορόν τε καὶ ἐπικαιρότατον ἀγρίᾳ τινὶ γλώττῃ καὶ ἀμουσοτάτῃ ἀποσωθῆναι; πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος, δίαιτάν τε λαχὼν ἐς ὅτι βαρυτάτην καὶ πρὸς πολέμους ἀεὶ καὶ παρατάξεις ὁρῶσαν, πῶς δὴ οὖν ὧδε βιὼς ἔμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπόνασθαι τοῖς διδάγμασι καὶ ἐνασκηθῆναι; εἰ μὲν οὖν ἐπαινοίη τις αὐτὸν ὅτι δὴ βασιλεύς γε ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὃ δὲ ἐφίετο γοῦν ὅμως ἁμηγέπῃ ἀπογεύεσθαι λόγων καὶ τῇ περὶ ταῦτα γάννυσθαι δόξῃ, ξυνεπαινέσαιμι ἂν καὶ ἔγωγε τὸν ἄνδρα καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. ὅσοι δὲ λίαν αὐτὸν σοφὸν ἀποκαλοῦσι, καὶ μόνον οὐχὶ τοὺς ὅποι ποτὲ πεφιλοσοφηκότας ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς ἀρχὰς καὶ αἰτίας διαγινώσκειν, ἐκεῖνοι ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ."

χοῦς θανάτου ὁ τάφος, ἅτε δὴ χωννυμένων τῶν θαπτομένων· Δαβίδ "καὶ εἰς χοῦν θανάτου κατήγαγές με" (Theodoret. in Ps. 21 16).

Χουσί ὄνομα κύριον.

χραίνειν αἰτιατικῇ· μιαίνειν, μολύνειν, ῥυποῦν.

χραίσμωσιν ὠφελήσουσι. Hom. *Α* 566.

χρεία ὑπόθεσις, πρόνοια· (Polyb. 3 70) "ὃ δὲ ἐπελάμβανεν ὑγιασθεὶς ἐκ τοῦ τραύματος ἀληθινὴν παρέχεσθαι χρείαν τοῖς κοινοῖς πράγμασι." καὶ παροιμία "χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν Καρχηδόνιον." τουτέστιν ἐνδεχομένην ἐκ τοῦ καιροῦ ποιησάμενοι τὴν ἐπίνοιαν.

χρείζειν τύπτειν (an χρίειν).

χρείῃ δέοι.

χρειώ ἡ χρεία.

a χρείω τὸ χρησμῳδοτῶ, ἐπὶ ἐνεστῶτος μόνον καὶ παρατατικοῦ· ἐπὶ δὲ τῶν λοιπῶν διὰ τοῦ η.

b χρείω τὸ μαντεύομαι, διὰ διφθόγγου· ὁ δὲ μέλλων διὰ τοῦ η, χρήσω. χρίω δὲ τὸ ἀλείφω διὰ τοῦ ι.

Χρεμέτης ὄνομα ποταμοῦ.

χρεμετίζει ἦχον τῷ στόματι ἀποτελεῖ. "πτάρνυται καὶ χρέμπτεται ὁμοίως." (Iulian. or. 7 p. 205) "τὴν ἀρχὴν ὁπόθεν εὑρέθη ὁ μῦθος, καὶ ὅστις πρῶτος ἐφεῦρεν, οὐ μᾶλλον εὕροι τις ἂν ἢ εἴ τις ἐπιχειρήσειε τὸν πρῶτον πταρέντα ἢ χρεμψάμενον ἀναζητεῖν."

χρεμψιθέατρον, ἢ ὅτι εἰσιόντες εἰς τὸ θέατρον χρέμπτονται, ἢ ὅτι χρεμπτόμενοι ἐκβάλλονται.

χρεοκοπεῖται ὑπὸ χρεῶν ἐνοχλεῖται· (Diodor. 29 33) "τῆς παρὰ τοῖς Αἰτωλοῖς χρεοκοπίας κατὰ τὴν Θεσσαλίαν ζηλωθείσης, καὶ πάσης πόλεως εἰς στάσεις καὶ ταραχὰς ἐμπιπτούσης."

χρεολυτῶ.

χρέος. παρὰ τὸ χρειῶδες λέγεται. χρέος a καὶ ἡ χρειὼ παρὰ Ἀριστοφάνει (Ach. 453)· "τί δ', ὦ τάλας, τοῦδ' ἔχει τοῦ πλέκους χρέος;" λέγει δὲ σπυρίδος.

χρέος τὸ δάνειον. καὶ χρεῖος. b

χρεὼν εἱμαρμένον, τέλος ζωῆς. Αἰλιανός "ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε." τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἀπὸ τοῦ χρῶ χρέω γινόμενον· οὐδέτερον χρέον. παρατροπὴ δὲ παρηκολούθησε τοῦ τόνου, καὶ κατὰ Ἀττικὴν ἔκτασιν ἐτράπη τὸ ο εἰς ω, καὶ ἔστιν ἄκλιτον. τὰ δὲ εἰς ον ἐπιρρήματα διὰ τοῦ ο μικροῦ γράφεται πλὴν τοῦ χρεὼν καὶ ἐμποδών.

χρεῶν ἀποκοπαί, ὅταν τὰ ὑπὸ τῶν πενήτων ἀφαιρεθέντα (an ὀφληθέντα) ἄφεσιν λάβωσι.

χρεώστης ὁ δανειστής.

χρεωφειλέτης ὁ χρεωστῶν.

χρή ὀξυτόνως δεῖ. χρῇ δὲ περισπωμένως, τὸ ὑποτακτικόν, σημαίνει τὸ δέῃ· Εὔπολις Αἰξὶν "ἐγὼ τελῶ τὸν μισθόν, ὅντιν' ἂν χρῇ." χρῆν δὲ σὺν τῷ ν καὶ περισπωμένως τὸ παρεληλυθὸς τὸ ἔδει. λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ· Φερεκράτης Ληροις "τὸ δ' ὄνομά μοι κάτειπε, τί σε χρῆσθαι καλεῖν." Ἀριστοφάνης Λημνίαις "ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;" χρῇς δὲ τὸ χρῄζεις καὶ δέῃ· Κρατῖνος Νόμοις "νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων

πάρα δ' ἄλλ' ὅ τι χρῄς." **χρείη** δὲ τὸ δέοι· Πλάτων Εὐθύφρονι ⟨p. 4⟩ "πευσόμενοι τοῦ ἐξηγητοῦ τί χρείη ποιεῖν."

**χρῄζω** γενικῇ θέλω.

a **χρῆμα** πρᾶγμα, ἢ κτῆμα, πλοῦτος, οὐσία, λῆμμα· ⟨Menand. p. 416 Nieb.⟩ "τὸ δὲ δωμάτιον ζοφῶδες ἦν καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρȣς ἐς τὰ μάλιστα ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν." καὶ αὖθις ⟨cf. v. Εὐτρόπιος⟩ "ὃ δὲ κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν ἐς τοσοῦτον ὥστε ὁ τȣ̃ μύθȣ Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν." Ἰουλιανός "πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθέομεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι μή ποτε ὦφθαι τοιοῦτον μηδέν, ὅσα γε ἡμεῖς ἴσμεν, ἐν τῇ Ῥωμαίων. ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις εἴτε τὰ ἐν Θερμοπύλαις εἴτε τὸν μέγαν καὶ δολιχὸν Ταῦρον, ἐλάχιστον ἴστω χαλεπότητος ἕνεκα πρὸς τὸ Ἑρκύνιον τοὔνομα." καὶ Εὐνάπιός φησιν ⟨p. 106 Nieb.⟩ "ὃ δὲ τὰς δυνάμεις ἤθροισε, τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων."

b **χρῆμα** πρᾶγμα· "μέγα τι χρῆμα καὶ θαυμάσιον ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων." καὶ αὖθις "εἰκάζειν ἂν βοῶν ἀγέλῃ μεγίστῃ τὸ χρῆμα·" περὶ βαρβαρικῆς παρατάξεως ὁ λόγος. Ἡρόδοτος ⟨7 188⟩ "ἦν τε τȣ̃ χειμῶνος χρῆμα ἀφόρητον." καὶ Ἀριστοφάνης ⟨Nub. 1⟩ "τὸ χρῆμα τῶν νυκτῶν ὅσον, ἀπέρατον," δηλαδὴ τὸ ἔκταμα, τὸ μέγεθος. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος σπάνιόν τι χρῆμα, γυνὴ κακόν τι χρῆμα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν ἂν ἐξαίρειν βούλωνται. "ὃ δὲ χρημάτων οὐκ ἦν εὔπορος, οὐδὲ ὅσα ἂν ἐξήρκεσεν ἑτέρῳ πρὸς τὴν τȣ̃ ἀναγκαίȣ βίȣ διαγωγήν, ȣ̓δὲ τοσαῦτα κεκτημένος."

c **χρῆμα** χρῆσις· Ἰώσηπος ⟨A. I. 18 9 2⟩ "ἦν δὲ σάββατον ἀργία παντὸς χρήματος ἡμέρα τοῖς Ἰουδαίοις τιμιωτάτη." καὶ αὖθις "κινδυνεύει ἀποσβῆναι τῆς ἀληθείας τὸ χρῆμα." καὶ χρήματα παρὰ Ἡροδότῳ ἀντὶ τȣ̃ πράγματα· "χρήμασιν ἐδωρήσατο."

**χρῆμα οἰκτρόν** ταπεινοί, ἐλέȣς ἄξιοι· "Λιβύων δὲ πρέσβεις, χρῆμα οἰκτρόν, κατὰ κλέος τὸ τῆς παρθένȣ ἧκον, καὶ ἐδέοντο λύσιν τινὰ τȣ̃ λοιμȣ̃ λαβεῖν."

**χρήματα χρήματ' ἀνήρ, πενιχρὸς δ'** a ȣ̓δέποτ' ἐσθλός" ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων Ἀριστόδημός φησι. μέμνηται τȣ̃ Ἀριστοδήμȣ καὶ Ἀλκαῖος· "ὡς γάρ δήποτέ φασιν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν, χρήματα" καὶ τὰ ἑξῆς. καὶ αὖθις Ἀριστοφάνης ⟨Vesp. 695⟩ "ȣ̓κ οἶδ' ὅ τι χρῆμά με ποιεῖς. σκέψαι τοίνυν ὡς ἐξόν σοι πλȣτεῖν καὶ τοῖσιν ἅπασιν, ὑπὸ τῶν ἀεὶ δημιζόντων." καὶ Σοφοκλῆς ⟨Ai. 288⟩ "τί χρῆμα δρᾷς, Αἶαν; τί τήνδ' ἄκλητος οὔθ' ὑπ' ἀγγέλων κληθεὶς ἀφορμᾷς πεῖραν, οὔτε τȣ κλύων σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός. ὃ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. κἀγὼ μαθοῦσ' ἔληξ', ὃ δ' ἐσσύθη μόνος."

**χρήματα χρήματ' ἀνήρ.** αὕτη ἀπο- b φθεγματική ἐςιν, ὡς τὰ παραγγέλματα τῶν ζ' σοφῶν. μέμνηται αὐτῆς Πίνδαρος καὶ Ἀλκαῖος. ὁμοία τῇ ἀρχῇ ἄνδρα δείκνυσι, καὶ τῇ τὴν κατὰ σαυτὸν ἔλα, καὶ τῇ γνῶθι σαυτόν. λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρτιάτου φησί, Πίνδαρος δὲ ὑπό τινος Ἀργείȣ τὸ ὄνομα, ȣ̔́τω λέγων. ὁ δὲ Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς ζ' σοφοῖς ὑπὸ τινῶν.

**χρηματίζει** δοτικῇ ἀποκρίνεται, πρᾶγμα διοικεῖ. ȣ̔́τως Ἀππιανὸς ὁ ἱςορικός· "τοῖς πρέσβεσιν ἐχρημάτισε."

**χρηματίζειν** ἐςὶ τὸ λόγȣς διδόναι ἀλλήλοις. Ἀριστοφάνης δέ ⟨Th. 384⟩ "καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδȣ, ὅ τι χρὴ παθεῖν."

**χρηματίζεσθαι** χρήματα πράττεσθαι. ἐὰν δέ τις εἴπῃ τὴν λέξιν ἐνεργητικῶς χρηματίζειν, ȣ̓κέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ τὸ πράγμασι χρῆσθαι, οἷον φαμὲν "χρηματίζει ἡ βȣλὴ καὶ ὁ δῆμος," οἷον πράγμασι σχολάζει. ἀφ' ȣ̔̃ χρήματα τὰ πράγματα.

**χρηματίζεσθαι** πλȣτεῖν. "ȣ̓δὲ χρηματίζομαι· πάλαι γάρ μοι ταῦτα ἐδόκει καὶ ἐκ μειρακίων λῆρος καὶ φλήναφος" ⟨cf. v. θρέμματα⟩.

**χρηματισάμενοι** πραγματευσάμενοι. καὶ χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι παρὰ Θουκυδίδῃ ⟨sch. Thuc. 1 87⟩.

*χρηματισαμένων* χρήματα λαβόντων· Ἀρριανός "χρηματισαμένων δὲ καὶ αὐτῶν τρίτη παρεγένετο πρεσβεία."

*χρηματίσεσθαι* χρήματα λαβεῖν· "Ἡροφίλα --- βίβλους" (cf. v. Ἡροφίλα).

*χρημάτισις* χρημάτων συναγωγή· Αἰλιανός "ὁ δὲ τῆς θεοσυλίας τε καὶ ἀθέσμου χρηματίσεως διαφθαρεὶς τὸν μισθὸν ἠνέγκατο τοῦτον πικρότατόν τε καὶ πικρωδέστατον (an φρικωδέστατον)."

*χρηματισμός*· "πᾶσι δὲ συνετάττετο ποιήσασθαι τοὺς χρηματισμούς," τουτέστι τὰς διοικήσεις. καὶ αὖθις "ὁ δὲ τοὺς πρεσβευτὰς ἑτοίμως δεξάμενος ἐχρημάτιζε τούτοις," ἀντὶ τοῦ ἐκοινολογεῖτο, λόγους ἐδίδου. καὶ αὖθις "ἐν χρηματισμῷ δικαίῳ καταστάς."

b ὅτι φησὶ Δαμάσκιος τὸν χρηματισμόν, τουτέστι τὴν τῶν χρημάτων συλλογήν, μηδὲ φανεῖσθαι τοῖς ἐν ᾅδου πρὸς βοήθειαν, οὐδὲ τὴν τρυφήν, οὐδὲ τὰς πολυαράτους ταύτας τιμάς, ὧν οὐδὲν προτιμῶσιν οἱ πολιτικοὶ καὶ σφόδρα ὑπὸ τῶν πολλῶν μακαριζόμενοι ὡς εὐδαίμονες, ὄντες γε τῇ ἀληθείᾳ κακοδαίμονες.

*χρηματιστής* χρημάτων ποριστής. ὁ ῥᾳδίως χρήματα πορίζων οὕτω προσαγορεύεται. κεῖται τὸ ὄνομα παρὰ Λυσίᾳ.

a *χρημάτων.* συνήθως μὲν οἵ τε ἰδιῶται καὶ οἱ ῥήτορες τῷ ὀνόματι τῶν χρημάτων ἐπὶ νομίσμασι χρῶνται ἀργυρίου καὶ χρυσίου, καὶ ἐπὶ τῆς ὅλης οὐσίας τὴν λέξιν ταύτην ἔταξαν· "τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ θνήσκειν, καὶ τὰ χρήματα αὐτοῦ πεπρᾶσθαι." κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, ὡς Ἀντιφῶν. τάσσουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων. ὁ δὲ Λυσίας ἐπὶ τοῦ χρυσοῦ κατασκευάσματος τίθησι.

b *χρημάτων* χρυσοῦ, νομίσματος· "οἳ δὲ ἤγοντο χρημάτων μεγάλων ἐωνημένοι."

*χρήμη* χρεία καὶ σπάνις· Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου (14) "τοὺς ἐναντιωθέντας τῇ χρήμῃ αὐτοῦ." "---ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο," τουτέστι μετρίῳ πλούτῳ καὶ περιουσίᾳ.

*χρῇ μοι μαντεύεται*· Σοφοκλῆς (El. 35) "χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα."

*χρῆν* ἔδει. καὶ *ἐχρῆν* ἔπρεπε· (Synes. ep. 7) "χρῆν δὲ μή, τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι, μηδὲ τί λέγει φήμη πυνθάνεσθαι, ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας, εἰ δὲ μή, γράμμασιν ὑμετέροις ἐντυγχάνειν."

*χρῆναι* πρέπειν· "χρῆναι γὰρ ἤδη ἀφῖχθαι παρ' αὐτόν."

*χρῇς* χρῄζεις. ζήτει ἐν τῷ χρή.

*χρήσασθαι* δανείσασθαι.

ὅτι τὸ χρῆσαι τοῦ δανεῖσαι αἱρετώτερον· τὸ μὲν γὰρ χρῆσαι ἐπὶ φίλων, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας.

*χρήσιμον* τὸ ἀγαθόν, ὅ τι χρῆσιν ὠφε- a
λείας παρέχεται.

*χρήσιμον* ὠφέλιμον· (Polyb. 1 54) "οἱ b
δὲ οὕτω διεφθάρησαν ὡς μηδὲ τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀχρειωθῆναι αὐτούς."

*χρήσιμον πρᾶγμα* ὅ τι χρείαν ὠφελείας παρέχεται, εὔχρηστον δὲ ὅ τι χρείαν ἐπαινετὴν ἀπεργάζεται.

*χρῆσις.* χρῆσις λέγεται τῶν χρησίμων τινὸς χρεία. χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά.

ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ b
αἱρετώτερα. εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος αἱρετωτέρα, καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος (Alex. Aphrod. in Top. 3).

*χρῆσθαι* διοικεῖσθαι, δαπανᾶν, καταναλίσκειν· "τά τε ἐπιτήδεια παρεσκευακέναι ἄφθονα, καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι."

*χρήσθων* ἀντὶ τοῦ χρήσθωσαν. καὶ ζήτει ἐν τῷ δρώντων.

*χρησμοδοτῶ* καὶ *χρησμοδότημα*· *χρησμῳδῶ* δέ.

*χρησμός* προφητεία. "ὁ δὲ Σκηπίων ὁ a
στρατηγὸς τῶν Ῥωμαίων, κατὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξουσι τοῦ χρόνου, παρελθὼν εἰς μέσους ἔφη 'νῦν μέντοι πολέμων ἀρχαὶ τὰ παρόντα· κινδυνεύσομεν γὰρ μὴ ἔχοντες μήτε οὓς φοβήσομεν μήτε οὓς φοβηθῶμεν.' καὶ ἦν χρησμός, οὐ λόγος·" καὶ αὖθις "τοῖς Ἀθηναίοις ἐκπίπτει χρησμὸς λέγων δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος καὶ ἑορτὴν χοὰς ἄγειν· καὶ ἐκ τούτου εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς." ζήτει χρησμὸν ἐν τῷ δόρυ κηρύκειον.

b **χρησμός.** ζήτει ἐν τῷ Τυρταῖος, καὶ ἐν τῷ ἀνεῖλε, καὶ ἐν τῷ Θοῦλις, καὶ ἐν τῷ Αὔγουστος Καῖσαρ, καὶ τὸ τέλος τοῦ τοιούτου χρησμοῦ ἐν τῷ Σκηπίων. ζήτει χρησμὸν θαυμάσιον ἐν τῷ Δαφίδας. χρησμὸν περὶ ἔρωτος ἐν τῷ Διογένης. ζήτει χρησμὸν περὶ Αἰγιέων ἐν τῷ Αἰγιεῖς. ζήτει χρησμὸν καὶ ἐν τῷ Οἰδίπους.

**χρησμῳδεῖν** θεολογεῖν.

**χρησμῴδημα** μάντευμα.

**χρηστά** χρήσιμα, καλά.

**χρῆσται** δανεισταί.

**χρῆσται.** δύο σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστάς, ὡς παρ' Ἰσαίῳ. Ἀριστοφάνης ⟨Nub. 239⟩ "ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων ἄγομαι φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι." ἐπὶ δὲ τοῦ δανειζομένου Δημοσθένης φησὶν ⟨32 12⟩ "οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δὲ οὐδέν." Harp.

**χρήστην** καὶ τὸν δανείσαντα καὶ τὸν δανεισάμενον.

**χρηστήρια** τολμήματα, πράξεις· Σοφοκλῆς ⟨Ai. 220⟩ "κείνου χρηστήρια τἀνδρός." ἢ τὰ διεφθαρμένα ποίμνια παρὰ τὸ διαχρήσασθαι αὐτά. **χριστήρια** δὲ τὰ μετ' ἐλαίου κεχρισμένα, μεθ' οὗ ἐχρίοντο οἱ ἱερεῖς, διὰ τοῦ ι.

**χρηστήριον** τὸ μάντευμα ἤτοι τὸν χρησμόν, τὸ χωρίον, τὸ ἱερεῖον. τὸ μαντεῖον δὲ διχῶς.

**χρήστης** καὶ ὁ δανείζων καὶ ὁ δανειζόμενος. ὁ δὲ Ἀριστοφάνης χρήστας τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ, Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας. Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων "χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεύγειν, μή σ' ἀνιήσειε διδοὺς παρὰ καιρὸν ἀπαιτέων."

**χρηστόν** χρήσιμον· ⟨A Pac. 567⟩ "ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον."

**χρηστός** ὁ ἀγαθός· "καὶ χρηστὸς ἐξ ἀγάπης ἀλλ' οὐκ ἐξ ἀνάγκης." **χριστὸς** δὲ ὁ ἐν ἐλαίῳ κεχρισμένος, καὶ Χριστός ὁ κύριος καὶ θεὸς ἡμῶν.

**χρηστεργία** ἀγαθοεργία· "ἡ δὲ φεύγει, ἐπιθυμοῦσα ἀμείψασθαί ποτε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον."

**χρηστῶς** ἀντὶ τοῦ φυλακτικῶς· Ἀριστοφάνης ⟨Eccl. 218⟩ "ἡ δ' Ἀθηναίων πόλις, εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο, εἰ μή τι καινὸν ἄλλο περιειργάζετο," ἀντὶ τοῦ ἐφύλαττε τὸν ἀρχαῖον νόμον καὶ μὴ ἐπολυπραγμόνει καὶ τὰς καινὰς ἔφερε πολιτείας.

**χρίμπτεται** προσκνᾶται, πελάζει, ἐγγίζει· ⟨AP 7 23⟩ "εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα."

**χρίομαι** αἰτιατικῇ ἀλείφομαι. **χρείω** δὲ τὸ μαντεύομαι διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνον· ἐπὶ δὲ μέλλοντος διὰ τοῦ η.

**χρίσασθαι** ἀλείψασθαι· "καὶ ἀποδυσάμενον χρίσασθαι κελεύει ἐλαίῳ."

**χρίσις.** τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι ἔχριον τοῖς βασιλεῦσι. καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν ⟨Theodoret. in 2 Regg. qu. 15⟩. καὶ αὖθις ⟨AP 7 1⟩ "νέκταρι δ' εἰνάλιαι Νηρηίδες ἐχρίσαντο, καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι," ἀντὶ τοῦ ἔχρισαν.

**χρίσμα** τὸ τῆς βασιλείας. ὅτι ὁ Δαβὶδ εἰς βασιλείαν τρίτον ἐχρίσθη. καὶ σημαίνει καὶ τὸν ἐν ἐλαίῳ κεχρισμένον καὶ τὸν προφήτην. χριστήρια δέ, μεθ' ὧν οἱ ἱερεῖς ἐχρίοντο τὸ παλαιόν.

**χριστιανοί.** ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι χριστιανοί.

**Χριστῖνα** ὄνομα κύριον. καὶ **Χριστίων** Χριστίωνος.

**Χριστόδωρος** Θηβαῖος, Ἰλλούστριος, a ἔγραψεν ἰξευτικὰ δι' ἐπῶν, καὶ θαύματα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

**Χριστόδωρος** Πανίσκου, ἀπὸ Κοπτοῦ b πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ϛʹ· ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην. πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβʹ. πάτρια Θεσσαλονίκης, ἐπικῶς, βιβλία κέ. πάτρια Νάκλης· ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα. πάτρια Μιλήτου τῆς Ἰωνίας, πάτρια Τράλλεων, πάτρια Ἀφροδισιάδος,

ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων, καὶ ἄλλα πολλά.

Χριστός ὁ κύριος ἡμῶν καὶ θεός.

χρόα ἡ χροιά, βαρυτόνως ὡς ψόα.

χροῖ δῆλα. ὅτι Φερεκύδην τὸν σοφόν φασι φθειριάσαντα τελευτῆσαι, ὅτε καὶ Πυθαγόρȣ παραγενομένȣ καὶ πυνθανομένȣ πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν χροῖ δῆλα. καὶ τἀντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνȣσι ⟨cf. v. ἐπηλυγάζονται⟩.

χροιά. χροία δὲ παροξυτόνως οἱ Ἀττικοί ⟨A Nub. 1173⟩ "ὡς ἥδομαι πρῶτα τὴν χροίαν ἰδών." ἡ δὲ κοινὴ ὀξυτόνως. χρόα δὲ βαρυτόνως ὡς ψόα.

χρόμαδος.

Χρομίος ὄνομα κύριον.

Χρόμωνος.

χρόνος. οἱ φιλόσοφοι ἀσώματον αὐτὸν εἶναί φασι, διάστημα ὄντα τῆς τȣ̃ κόσμου κινήσεως, τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρȣς, τὸν δὲ ἐνεστῶτα πεπερασμένον. ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. ȣ̃ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον· τὰ δὲ μέρη τȣ̃ κόσμȣ φθαρτά (εἰς ἄλληλα γὰρ μεταβάλλει), φθαρτὸς ἄρα καὶ ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος· ἐξαυχμȣ̃ται γȣ̃ν καὶ ἐξυδατȣ̃ται ⟨Diog. L. 7 141⟩.

χρόνος γὰρ εὐμαρὴς θεός, τȣτέςιν ὁ χρόνος εὐμαρῶς παρέρχεται. ἢ ȣ̃τως· εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκȣς ⟨sch. S El. 179⟩.

χρόνȣ πόδα ἀπὸ τȣ̃ Εὐριπίδȣ Ἀριςοφάνης ⟨Ran. 100 et 314⟩ "αἰθέρα Διὸς δωμάτιον ἢ χρόνȣ πόδα." ἀντὶ Εὐριπίδȣ τȣ̃ ταῦτα λέγοντος. καὶ αὖθις "χρόνȣ γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος" Σοφοκλῆς ⟨El. 1292⟩· ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία.

χροός σώματος· καὶ Ὅμηρος ⟨N 191⟩ "ἀλλ' ὤπη χροὸς εἴσατο." διῄρηται ὁ χρόος ἀντὶ τȣ̃ ὁ χρώς, διὸ καὶ βαρύνεται. τὸ δὲ εἴσατο ἐφάνη. ⟨AP 6 273⟩ "λȣ̃σαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βȣ̃θι δ' ἐς οἴκȣς."

χρυσᾶ. τὸ ἁπλᾶ --- φοινικοῦν ⟨cf. v. ἁπλᾶ⟩.

χρυσάμπυκας χρυσοχαλίνȣς.

Χρυσάνθιος. ȣ̃τος ἐκ Σάρδεων ν, φιλόσοφος· ὃν διὰ γραμμάτων μεταπέμπεται Ἰȣλιανός. ὁ δὲ κατὰ χώραν ἔμενε, τȣ̃το ἐπελθὸν αὐτῷ πράττειν ἐκ τȣ̃ θείȣ· ὅς γε οὐ πρὸς τὴν περιτρέχȣσαν καὶ καινὴν δόξαν ἀνέφερε τὸν ἑαυτȣ̃ βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς ἐκεῖθεν ἅπαντα ἔπραττε.

Χρυσαόριος ὄνομα κύριον.

χρυσάορον χρυσοφάσγανον, ἢ χρυσοκίθαρον. Hom. O 256.

χρυσαυγȣ̃ντα ἀστράπτοντα, ςίλβοντα.

χρύσειος χεὶρ καὶ χρύσειον ἔργον.

χρύσειος ὁ χρυσȣ̃ς.

χρυσῆ εἰκών. ὤμνυον οἱ Ἀθήνησιν ἄρχοντες, ἂν μὴ παρέλθωσιν ἐφ' οἷς ἄρχȣσι, χρυσῆν εἰκόνα αὐτῶν ἀναθήσειν ἐν ἄστει, ἐν Πυθοῖ, ἐν Ὀλυμπίᾳ.

Χρυσηίς ὄνομα κύριον.

χρυσηλάκατος ἡ καλλίτοξος, ἢ χρυσότοξος. Hom. Y 70.

χρυσήνιος κυρίως. ἢ ἀπὸ μέρȣς καλή· δίφρος εὐάρμοστος. Hom. Z 205.

χρυσῆν σειρήν. ȣ̃τως ὑπὸ Ὁμήρȣ τὸν ἥλιον λεγόμενον ἐν Θεαιτήτῳ Πλάτων φησί ⟨p. 153 C⟩.

χρυσίδιον τὸ μικρὸν χρυσίον, ὑποκοριστικῶς.

χρυσίζω τὸ χρυσὸν λαμβάνω.

Χρυσίππειοι μαθηταί οἱ τοῦ Χρυσίππȣ.

Χρύσιππος Ἀπολλωνίδου Σολεὺς ἢ Ταρσεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς στωικῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας ὁ καὶ γʹ ἐτῶν ὑπὸ τȣ̃ πιεῖν ἄκρατον καὶ ἰλιγγιᾶσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου, ἐπὶ ρμγʹ ὀλυμπιάδος. συντέταχε δὲ βιβλία πλείω ἢ ψʹ φιλόσοφά τε καὶ ἱστορικὰ καὶ γραμματικά.

ὅτι Χρύσιππος ὁ φιλόσοφος τοιούτȣς τι- b
νὰς ἠρώτα λόγȣς. ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ὁ ἱεροφάντης ἄρα ἀσεβεῖ. ὃ ἔστιν ἐν τῇ πόλει, τȣ̃το καὶ ἐν τῇ οἰκίᾳ· ȣ̓κ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. ἔστι τις κεφαλή, ἐκείνην δὲ ȣ̓κ ἔχεις· ἔστι δέ γέ τις κεφαλή, ἣν οὐκ ἔχεις· οὐκ ἄρα ἔχεις κεφαλήν. εἴ τίς ἐστιν ἐν Μεγάροις, ȣ̓κ ἔςιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐςιν ἐν Μεγάροις· ȣ̓κ ἄρα ἐςὶν ἄν-

θρωπος ἐν Ἀθήναις. εἴ τι λαλεῖς, τοῦτό σου διὰ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ στόματός σου διέρχεται. εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις ⟨Diog. L. 7 186⟩.

χρυσίς ἡ χρυσῆ φιάλη· ⟨A Pac. 424⟩ "οἴμ' ὡς ἐλεήμων εἴμ' ἀεὶ τῶν χρυσίδων," ἀντὶ τοῦ ἥττων.

χρυσίτης εἶδος λίθου. χρυσῖτις δὲ γῆ. πλὴν τοῦ ἀετίτης, λυχνίτης καὶ ἀχάτης, τὰ δὲ λοιπὰ διὰ τοῦ ι.

χρυσόγεων τὸ ἔχον γῆν χρυσῆν· χρυσόγειον δέ.

Χρυσόγονος ὄνομα κύριον.

ἐπιστολὴ Ἀναστασίας τῆς μάρτυρος πρὸς Χρυσόγονον. "τῷ ἁγίῳ ὁμολογητῇ Χριστοῦ Χρυσογόνῳ Ἀναστασία χαίρειν. εἰ καὶ μάλιστα ὁ ἐμὸς πατὴρ τὰ εἴδωλα προσεκύνει, ἀλλ' οὖν ἡ μήτηρ μου Φλαβία διὰ παντὸς ἐν χριστιανοῖς οὖσα, ἐξ ὅτου με ἐγέννησε, χριστιανήν με ἐποίησε. μετὰ δὲ τὸν θάνατον αὐτῆς ἐζεύχθην ἀνδρὶ μιαρωτάτῳ, οὗ τινὸς χάριτι θεοῦ τὴν συνάφειαν διέφυγον, δεομένη τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ νυκτός τε καὶ ἡμέρας ῥυσθῆναι ἀπὸ τοῦ μιαροῦ εἰδωλολάτρου ἐκείνου, ὅστις τὴν ἐμὴν περιουσίαν ἐξῆς διαφαίνεται μετὰ μιαρῶν καὶ εἰδωλολατρῶν ἀνδρῶν ἐξαντλήσας, ἐμὲ δὲ ὡσανεὶ φαρμακὸν καὶ ἱερόσυλον βαρυτάτῃ φυλακῇ παραδέδωκεν, ὥστε με τὴν πρόσκαιρον ἀπολέσαι ζωήν· καὶ οὐδέν μοι παρὲξ τῆς ψυχῆς περιλέλειπται. πλὴν εὔχομαι μετὰ τῆς τοῦ θεοῦ ἐλπίδος ἀποθανεῖν. ὅμως, εἰ καὶ καυχῶμαι ἐν τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ μου, πάνυ λυποῦμαι ὅτι τὴν ἐμὴν περιουσίαν, ἣν ηὐχόμην περὶ τοὺς δούλους τοῦ θεοῦ δαπανῆσαι, ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος δαιμονολάτραις ἐπιχορηγεῖ, καὶ ἅπερ ἐγὼ ἐπιδοῦναι τοῖς τοῦ θεοῦ δούλοις ηὐχόμην, ταῦτα αἰσχροῖς καὶ ἀνοσίοις ἀνθρώποις ἐπιδίδωσι. καὶ διὰ τοῦτο παρακαλῶ σε, δοῦλε Χριστοῦ τοῦ θεοῦ, ἵνα σπουδαίως ὑπὲρ ἐμοῦ τὸν θεὸν δυσωπήσῃς, ὥστε, εἰ μὲν προγινώσκει ὁ θεὸς πιστεῦσαι τὸν ἐμὸν ἄνδρα Πόπλιον εἰς τὸν Χριστόν, εἰ δὲ μή γε, συγχωρῆσαι αὐτὸν ταῖς οἰκείαις ἐναπολέσθαι ἀπάταις, ἐμὲ δὲ ῥύσασθαι ἀπ' αὐτοῦ. κάλλιον γάρ μοι τὸ ἀποθανεῖν ἢ τὸν υἱὸν τοῦ θεοῦ ἀπαρνήσασθαι καὶ τοῖς πιστεύουσιν εἰς αὐτὸν ἐμποδίσαι. αὐτὸς δὲ ὁ παντοδυνάστης Χριστὸς μαρτυρεῖ· ὅταν ἀπαλλαγήσωμαι τῆς πλάνης ταύτης, τοῖς ἁγίοις προσκαρτερήσω, καὶ τὰς ὑπὲρ αὐτῶν φροντίδας, καθάπερ ἠρξάμην, μέχρι παντὸς ἀναδέξομαι. ἔρρωσο δοῦλε τοῦ θεοῦ, καὶ μέμνησό μου."

ὁ δὲ Χρυσόγονος δεξάμενος ἔγραψεν οὕτως. "Χρυσόγονος Ἀναστασίᾳ χαίρειν. χειμαζομένῃ σοι ταῖς θυέλλαις τοῦ βίου ὁ ἐπὶ τῶν κυμάτων βαδίσας Χριστὸς βοηθήσοι, ἵνα τὴν τοῦ διαβόλου δύναμιν τῷ λόγῳ αὐτοῦ καταργήσῃς. μεγαλοφρόνως τοίνυν καὶ ὡσανεὶ ἐν μέσῃ τῇ θαλάσσῃ κειμένη πίστευσον τῷ Χριστῷ ἐπισκέψασθαί σε, καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα ἀναβόησον μετὰ τοῦ προφήτου εἰπόντος 'ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου', καὶ τὰ ἑξῆς. διπλῆ γὰρ ἡ δύναμις τῆς τοῦ θεοῦ χάριτος ἀποδείκνυται· καὶ γὰρ τὰ πρόσκαιρά σοι περιττεύσει, καὶ προστεθήσεταί σοι τὰ ἐπουράνια. ὁ δὲ θεὸς τοὺς μὴ παρακαλοῦντας αὐτὸν ὑπὲρ ἀγαθῶν ἀποστρέφεται· οὐδὲ γάρ ἐστιν εὐτελὲς τὸ χάρισμα αὐτοῦ. βλέπε μὴ ταραχθῇς ἐν τούτῳ, ὅτι εὐσεβῶς διαγινομένῃ σοι πρὸς τὸν Χριστὸν συμβαίνει τἀναντία. οὐδὲ γὰρ ἀπατᾷ σε ὁ Χριστός, ἀλλὰ δοκιμάζει σε. οὔτε ἀσφαλής ἐστι παρὰ τῶν ἀνθρώπων βοήθεια, ὡς σὺ νομίζεις, τῆς γραφῆς λεγούσης 'ἐπικατάρατος ὁ ἄνθρωπος ὁ ἐλπίζων ἐπ' ἄνθρωπον, καὶ εὐλογημένος ὁ ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ τὸν θεόν.' βλέπε γενναίως, καὶ ἀγρύπνως καὶ τρανῶς διάφυγε πᾶσαν ἁμαρτίαν. ταύτην παρὰ τοῦ θεοῦ ζήτησον παραμυθίαν, οὗ τινὸς τὰς ἐντολὰς φύλαττε. ἤδη γὰρ ὁ τῆς σωτηρίας καιρὸς ἐλεύσεται ἐπὶ σέ, καὶ καθάπερ μετὰ σκοτεινὴν νύκτα τὸ διαυγὲς φῶς τοῦ θεοῦ ἐπιλάμψει σοι, καὶ καθάπερ μετὰ χειμῶνα ἱλαρός σοι καὶ εὔδιος ἐπιγελάσει καιρός, καὶ ὡς πᾶσι τοῖς διὰ τὸν θεὸν θλιβομένοις παρασχήσει σοι τὴν πρόσκαιρον ὑπομονήν, δι' ἣν τὸν αἰώνιον ἀπολήψῃ μισθόν. ἔρρωσο ἐν κυρίῳ, καὶ εὔχου ὑπὲρ ἐμοῦ."

καὶ αὖθις γράφει ἡ αὐτὴ πρὸς τὸν αὐτόν. "Χρυσογόνῳ τῷ ὁμολογητῇ τοῦ Χριστοῦ Ἀναστασία χαίρειν. ὅτι τὸ τέλος πάρεστι τῷ σώματί μου, εὔχου ὑπὲρ ἐμοῦ, ἵνα ἐκεῖνός μου ἀποδέξηται τὴν ψυχὴν δι' ὃν ταύτας τὰς θλίψεις ὑπομένω."

πρὸς ταῦτα Χρυσόγονος ἀντέγραψεν οὕτως. "τῇ τοῦ θεοῦ δούλῃ Ἀναστασίᾳ Χρυσόγονος. δῆλόν ἐστιν ὅτι τὸ φῶς ἀποκρύπτει τὸ σκότος· οὕτω καὶ μετ' ἀσθένειαν ἡ σω-

τηρία ἐπέρχεται, καὶ ἡ ζωὴ μετὰ θάνατον τοῖς ἀξίοις ἐπιδίδοται. τὸ γὰρ αὐτὸ ἔχει τέλος ἥ τε εὐτυχία ἥ τε δυστυχία τῶν ἀνθρωπίνων πραγμάτων, ἵνα μήτε οἱ ταπεινοὶ συγνάζωσι μήτε οἱ μεγαλοφρονοῦντες καυχήσωνται. μία γὰρ θάλασσά ἐστιν ἐν ᾗ τὰ πλοῖα τοῦ ἡμετέρου σώματος διατρέχει, καὶ ὑφ᾽ ἑνὸς κυβερνήτου εὐθύνεται. ὧν τινῶν τοίνυν αἱ νῆες ἰσχύρωνται ταῖς τρόπισιν ὠχυρωμέναι, ἀβλαβεῖς τὸ πέλαγος διατρέχουσιν· αἱ δὲ ἀσθενεῖς καὶ δίχα κυμάτων ἐπ᾽ αὐτῆς τῆς γαλήνης κινδυνεύουσιν· ἐγγὺς γὰρ ἀπωλείας εἰσὶν αἱ μὴ πρὸς τὸν λιμένα τῆς σωτηρίας σπουδάζουσαι ἐλθεῖν. σὺ δὲ ἀκατάγνωστος τυγχάνουσα τοῦ Χριστοῦ δούλη τὸν σταυρὸν ἐν πάσῃ σου τῇ ψυχῇ διακράτησον, καὶ σεαυτὴν πρὸς σωτηρίαν παρασκεύασον, ὥστε μετὰ τῶν μαρτύρων τοῦ Χριστοῦ ἀριθμηθῆναί σε. ἔρρωσο."

χρυσοδαίδαλτον τίμιον ⟨A Eccl. 965⟩.

χρυσοεψητεῖον ἔνθα χωνεύουσι καὶ ἕψουσι τὸν χρυσόν.

Χρυσομαλλώ ὄνομα ὀρχηστρίδος, εἶτα ἑταίρας. ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ καὶ Θεοδώρας (Procop. Arc. 17).

χρυσομανῶ δοτικῇ.

Χρυσόπολις ἐμπόριον τῆς Χαλκηδονίας, ἔνθα οἱ Ἕλληνες οἱ σὺν Κύρῳ μισθοφορήσαντες ἔμειναν ἡμέρας ζ´ λαφυροπωλοῦντες, ὥς φησι Ξενοφῶν ⟨Anab. 6 extr.⟩.

χρυσόροφος.

χρυσόρραπις χρυσῆν ῥάβδον ἔχων. Hom. κ 277.

χρυσὸς Κολοφώνιος. οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. καὶ τάχα ἴσως οἱ ἐκπεσόντες τῆς οἰκείας Λυδῶν περὶ Θρᾴκην καὶ Στρυμόνα χρύσεια κατέσχον μέταλλα σύν τισιν Ἰώνων, καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν.

χρυσοτόρευτα χρυσόγλυφα ⟨Exod. 25 18⟩.

χρυσοῦν δέρας. ζήτει ἐν τῷ δέρας.

χρυσοχάλινον τὸ λαμπρόν, τὸ τερπνόν· "οὐκέτι χρυσοχάλινον ὁρᾷ φάος ἠελίοιο."

χρυσοχοεῖν. Δείναρχός φησι "πάλιν παρ᾽ Αἰσχίνην ἀποφοιτήσας παρὰ τούτῳ δηλονότι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ᾽ οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν." κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ⟨RP 5 p. 450 B⟩· "τί δαί, ἦ δ᾽ ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ;" ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ ψῆγμα χρυσοῦ πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐξέθεον ἐπ᾽ αὐτούς. ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους λέγοντες "σὺ δὲ ᾤου χρυσοχοήσειν," ὅπερ δηλοῖ σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν φησιν "ἡμεῖς ποτ᾽ ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα." Harp.

χρυσοχοεῖον.

χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις" ⟨A Nub. 909⟩ ἐπὶ τῶν εἰκῇ διαλοιδορουμένων· ἐπιφέρει γὰρ "νῦν δὲ κόσμος τοῦτ᾽ ἐστί μοι," τουτέστι τὸ τοιαῦτ᾽ ἀκούειν.

χρώζω καὶ καταχρώζω· "τὸ καλὸν τοῦ πράγματος κατέχρωζε" ⟨cf. v. κατέχρωζεν⟩.

χρῶμα. τοῦτο σημαίνει τὸ ἐν τοῖς σώ- a
μασιν, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τούτων μεταξύ. σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι καὶ κατὰ μουσικὴν χρῶμα. τρία γὰρ μέρη τῆς μελῳδίας οἱ ἁρμονικοὶ εἶναί φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος καὶ τὴν διατονικοῦ χρώματος. καὶ εἰσὶ διαφοραὶ ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος, ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως, ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον καὶ διεσιαῖον καὶ τὸ μαλακὸν ὁμώνυμα ⟨Alex. Aphrod. in Top. p. 68⟩. Διόδωρος "ὁ δὲ βάρβαρος μαστιζόμενος, ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει."

χρῶμα. ὅτι ὁπηνίκα τὸ κρυσταλλοειδὲς b
τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἄλλα ὁρατὰ κεχρῶσθαι.

χρῶμα δέ φησιν ὁρατὸν τὸ ἐπὶ τοῦ καθ᾽ c
αὑτὸ ὑπάρχον ὁρατοῦ. καθ᾽ αὑτὸ δὲ ὁρατόν φησι τὴν ἐπιφάνειαν. καθ᾽ αὑτὸ δὲ ὁρατὸν ἡ ἐπιφάνεια οὐχ οὕτως ὡς τῷ ὁρισμῷ καθ᾽ αὑτό. διττὸν γὰρ τὸ καθ᾽ αὑτό, ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται ὡς τὸ ζῷον καὶ τὸ λογικὸν ἐν τῷ τοῦ ἀν-

θρώπε ὁρισμῷ· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ. ἢ ὃ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται, ὡς ἐν τῷ ὁρισμῷ τε ἀρτίε ἢ τε περιττε ὁ ἀριθμός, καὶ ἐν τῷ ὁρισμῷ τῆς σιμότητος ἡ ῥίς· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχεσι τῷ ὁρισμῷ. οὐχ ἕτως ἂν φησὶ καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχεσαν ἐν ἑαυτῇ τὸ αἴτιον τε ὁρατὴν εἶναι. τῦτο δέ ἐστι τὸ χρῶμα. τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα τῦτό ἐςι τὸ ὁρατόν, καὶ τῦτε αἱ ὄψεις ἀντιλαμβάνονται, ὃ τε ἐν βάθει χρώματος. τὰς γὰρ διαφανεῖς τῶν λίθων εἰ καὶ δοκῦμεν ὁρᾶν δι' ὅλε τε βάθες κεχρωσμένες, τὰς ὄψεις ἀπατώμεθα· τῷ μὲν γὰρ διαφανεῖς εἶναι τὰς λίθες διαβαίνεσι διὰ τε βάθες αἱ ὄψεις ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι, διὰ τε χρώματος δὲ τε ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα, καὶ διὰ τῦτο δοκῦμεν καὶ τὸ ἐν βάθει χρῶμα ἑωρακέναι (Philopon. in Aristot. de an. 2). καὶ Πισίδης "ὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα, ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι." ζήτει περὶ χρώματος ἐν τῷ φαιόν.

χρῶμαι δοτικῇ.

χρωμένῳ χρησμὸν αἰτῦντι, χρησμὸν ἐπερωτῶντι, ἢ μαντευομένῳ.

Χρῶμις ὄνομα κύριον.

χρωννύω. χρωννῦσα.

χρῶνται.

χρώς σῶμα, ἰδέα.

χρῶσαν τὴν χρησμῳδῦσαν· "χρῶσαν Λακεδαιμονίοις" Θεκυδίδης (5 16 ?).

χρωσθῆναι χρωματισθῆναι.

χρωστήρ ὁ χρωματίζων· ἐν ἐπιγράμματι (AP 6 68) "καὶ μολίβῳ χρωστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων."

χρωτί σώματι.

χρωτίζεται πλησιάζει· Ἀριστοφάνης Νεφέλαις (516) "νεωτέροις τὴν φύσιν αὑτε πράγμασιν χρωτίζεται" ἤγεν πλησιάζει. λέγεται δὲ ἐπὶ τῶν μεσικῶν· χρωματικὸν καὶ διατονικὸν μεσικῆς εἴδη.

χυδαῖος εὐτελής, παμπληθής.

χύδην κεχυμένως.

χυλῷ τῷ ῥοφήματι· Ἀριστοφάνης (Pac. 985) "μῖξον δ' ἡμᾶς φιλίας χυλῷ." καὶ χυλὸς πτισάνης ὁ ἀπὸ τῆς ζειᾶς.

χῦμα.

χυμός. ζήτει ἐν τῷ ὕδωρ, καὶ ἐν τῷ φαιόν, καὶ ἐν τῷ γλῶττα.

χυτή ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ. Hom. Z 464.

χύτλα ὑδρέλαιον, καὶ χυτλάζειν τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ λέγεται κυρίως τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. "φράσον δέ μοι, εἰς ὅ τι τεῦχος χεύωμαι ποσὶ χύτλα, καὶ ὁππόθεν." "ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς ςρώμασι γυμναςικῶς" Ἀριςοφάνης (Vesp. 1251)· χύτλος γὰρ τὸ μεθ' ὕδατος ἔλαιον.

χυτλώσαιντο ἀλείψαιντο (Hom. ζ 80?).

χυτόν χῶμα. καὶ ὁ ξεστὸς λίθος· Ἡρόδοτος (7 37).

χύτραις ἱδρυτέον· Ἀριστοφάνης (Pac. 922) "τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;" τυτέστι τὴν εἰρήνην. ὁπότε γὰρ μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις, χαριςήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. Ἀριστοφάνης Δαναΐσι "μαρτύρομαι δὲ Ζηνὸς ἑρκείῳ χύτρας, μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ." ἔστι δ' ὅτε καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο. Ἑρμᾶς δὲ ἱδρύοντες πρὸ τῶν θυρῶν καὶ ἄλλα τινὰ ἱδρύματα, ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν, χύτραις ἀθάρας ἱδρύεσθαι. μεμφόμενοι δὲ ὡς πολυτίμητον οὖσαν ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο. (Pac. 1090) "ὡς οἳ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ," ὡς τε Ἑρμοῦ χύτραισιν ἱδρυμένε.

χύτραις λημᾶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων (A Nub. 326).

χύτραν ποικίλλειν ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων.

χύτραν τρέφειν. ἐπὶ τῶν τεγῶν ἐτίθεσαν, „ὅπως μὴ προσέρχωνται αἱ γλαῦκες (A Av. 356).

χύτρασον ὕγρανον.

χυτρέα τὸν κεραμέα καὶ δημιεργὸν τῶν τοιούτων σκευῶν. καὶ Πλάτων ἐν Πολιτείᾳ (p. 421 D). χυτρεύς κεραμεύς, ἀφ' ἑνὸς εἴδες τῶν κεραμευομένων, τῆς χύτρας.

χυτρεῖον ἐν ᾧ αἱ χύτραι.

χυτρεοῦν ὀστράκινον, εὐτελῆ, χύτρας ἄξιον· Ἀριστοφάνης (Nub. 1478) "οἴμοι δείλαιος, ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην."

χυτρίνδα παιδιά· καθέζεται γὰρ ἐν

μέσῳ, οἳ δὲ κύκλῳ περιθέοντες παίζȣσιν αὐτόν, ἕως ἂν ἐφάψηταί τινος, ὃς ἀντ' αὐτȣ̃ κάθηται. χυτρίνδα ὡς βασιλίνδα καὶ ἄλλα εἴδη· πρὸ μιᾶς ὁ τόνος.

χύτροι ἑορτὴ Ἀθήνησιν· ἐν μιᾷ δὲ ἡμέρᾳ ἤγοντο οἵ τε χύτροι καὶ οἱ χόες· ἐν ᾗ πᾶν σπέρμα εἰς χύτραν ἑψήσαντες ἔθυον Διονύσῳ καὶ Ἑρμῇ. Θεόπομπος δέ φησι τȣ̀ς διασωθέντας ἐκ τȣ̃ κατακλυσμοῦ ἑψεῖν χύτραν πανσπερμίας, ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν, καὶ θύειν τοῖς χουσὶν Ἑρμῇ χθονίῳ, τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τȣ̀ς περισωθέντας ἱλασκομένȣς τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων.

Χύτροι. πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη. ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ χύτροι. ἤγετο δὲ ἡ ἑορτὴ ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος. Harp.

χύτρον χῶμα. καὶ φιλήματος εἶδος. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 306⟩ "χύτρον τοι, ταύτην τε κρεαγρίδα."

χυτρόπους· "εἰσιὼν καὶ ἐξιὼν ὁ Σαλούστιος πρὸς τȣ̀ς ἑταίρȣς ἑώρα τȣ̀ς χυτρόποδας ἀχράντȣς ἀεὶ καὶ ἀκάπνȣς, ὥσπερ ἐν ἀγορᾷ πρὸς ὠνὴν ἐκκειμένȣς· ἐποιεῖτο δὲ μέγιστον ἀπύρῳ διαίτῃ κεχρῆσθαι πολὺν χρόνον" ⟨Damascius⟩.

Χωβάλ πόλις.

Χώβαρος ὄνομα κύριον.

χωλή ἀντὶ τȣ̃ ἀτελής· περὶ ψυχῆς Πλάτων ⟨p. 71 E⟩ "ἀλλ' εἰ ταύτῃ ἔσται χωλὴ ἡ φύσις."

χωλίαμβος εἶδος στίχȣ ⟨cf. v. Βαβρίας⟩.

χωλός καὶ ἐπὶ ποδὸς καὶ ἐπὶ χειρός· Εὔπολις "ὅτι χωλὸς τὴν χεῖρα σὺ σφόδρα." καὶ κυλλȣ̀ς οἱ Ἀττικοὶ ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοποιός· Ἀριςοφάνης ⟨Ran. 869⟩ "ȣ̓ δῆτα πρίν γ' ἂν τȣ̃τον ἀποφήνω σαφῶς τὸν χωλοποιόν, οἷος ὢν θρασύνεται." Χῶλος δὲ ὄνομα κύριον.

χῶμα ὕψωμα γῆς, ὅπερ οἱ πολέμιοι ἐν ταῖς πολιορκίαις εἰώθασι προσχȣ̃ν τὰ τείχη. "Τραϊανὸς δὲ εἰς Βαβυλῶνα ἀφικόμενος ἐντυγχάνει χώματι μεγίστῳ, ὅπερ χῶσαι ἐλέγετο Σεμίραμις. ἦν δὲ αὐτȣ̃ τὸ μὲν ὕψος ποδῶν ε' καὶ κ', τὸ δὲ εὖρος ἐς ν', κατὰ μῆκος ἐπεῖχε σταδίȣς σ'. κατηγορεῖ δὲ τὴν δύναμιν τῆς πόλεως."

χώματα χοῦν Ἡρόδοτος ἱστοριῶν β' ⟨137⟩ ἀντὶ τȣ̃ γῆν ὑψȣ̃ν.

χωμισδαίτης ὁ Ἡρακλῆς.

Χῶναι ὄνομα τόπȣ.

χωνεῖον τὸ χωνευτήριον. χωνίον δὲ τὸ ἐργαλεῖον, ι.

χωνεύω τὸ εἰς χῶνον ἐμβάλλω. καὶ χωνεία ἐκ τȣ̃ χωνεύω. καὶ χωννύω ὁμοίως.

χῶνος τὸ χωνεῖον, καὶ χῶνες οἱ χωνευταί.

Χωξύγγιος.

χῶ ξυμπότης.

χωόμενος ὀργιζόμενος. Hom. Α 244.

χώρα ὁ τόπος. παρὰ δὲ Θȣκυδίδῃ ⟨4 76⟩ χώρα ἡ τάξις.

Χωραζίν ὄνομα τόπȣ. καὶ ὁ προφήτης "ȣ̓αί σοι Χωραζίν" ⟨Matth. 11 21⟩.

Χωράσμιος ὄνομα κύριον.

χώραυλος ὁ ἐπὶ χώρας διατρίβων.

χωρεῖν πορεύεσθαι, ὁρμᾶν· "ἀλλὰ χωρεῖν καὶ συναποθνήσκειν ταῖς ἐπιβολαῖς τῶν πραγμάτων." "ȣ̓ χωρȣ́ντων αὐτῷ τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νȣ̃ν" ἀντὶ τȣ̃ γινομένων "διὰ τὸ μὴ βασιλικὴν φανῆναι τὴν ἡγεμονίαν ἀλλὰ δεσποτικὴν ταῖς πόλεσι." καὶ χωρῶ αἰτιατικῇ.

Χωρήβ ὄνομα ὄρȣς.

χωρήσατε προσδέξασθε ⟨2 Cor. 7 2⟩.

χωρίζω τὸ διαχωρίζω. καὶ χωρίζομαι γενικῇ.

χωρὶς ἱππεῖς. Δάτιδος ἐμβαλόντος εἰς τὴν Ἀττικὴν τȣ̀ς Ἴωνάς φασιν, ἀναχωρήσαντος αὐτȣ̃, ἀνελθόντας ἐπὶ τὰ δένδρα σημαίνειν τοῖς Ἀθηναίοις ὡς εἶεν χωρὶς οἱ ἱππεῖς, καὶ Μιλτιάδην συνιέντα τὴν ἀποχώρησιν αὐτῶν συμβαλεῖν ȣ̔́τως καὶ νικῆσαι. ὅθεν καὶ τὴν παροιμίαν λεχθῆναι ἐπὶ τῶν τάξιν διαλυόντων.

χωρισμός ἡ διάστασις.

χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα." φιλοσοφȣ̃ντος - - - Φρυγῶν ⟨cf. v. ȣ̓δὲν ἧττον⟩.

χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια. ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις" ⟨S OC 808⟩, τȣτέςιν, ἄλλο ἐστὶ τὸ φλυαρεῖν καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν. "ȣ̓ δῆθ', ὅτῳ γε νȣ̃ς ἴσως καὶ σοὶ πάρα," ἀντὶ τȣ̃ τοῖς κατὰ σὲ ȣ̓ δοκῶ καίρια λέγειν.

χωρίτης ἀπὸ τῆς χώρας.

χωριτικός ὁ χωρίτης, ὁ ἰδιώτης.

χῶρος τόπος.

χωρῶ χωρήσω, αἰτιατικῇ. χωρίζω δὲ τὸ διαχωρίζω.

χώσασθαι λυπηθῆναι.

χωστρίς.

ψαθάλλειν τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

ψαθαρόν ἁπαλόν. ὅτως **Πλάτων** καὶ Ἀριστοτέλης περὶ ζῴων.

Ψαθυριανοί αἵρεσίς τις ὅτω καλȣμένη, διότι Θεόκτιστός τις ψαθυροπώλης διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. καὶ ζήτει ἐν τῷ Ἀρειανοί.

ψαθυρόν ξηρόν· ⟨Ps. 102 3⟩ "καὶ τὰ ὀστᾶ μȣ ὡσεὶ καῦσις ἐψαθυρώθη."

ψαίκαλον τὸ ἀρνίον.

ψαίρειν τὸ ταχύνειν, ἔνθεν καὶ αἰψηρός.

ψαιστά ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίων τοῖς θεοῖς. ψαιστὰ δὲ καλεῖται ἀπὸ τῆς τȣ̃ μύλωνος περιψήσεως. ἢ πέμμα, ἢ εἶδος πλακȣ̃ντος. καὶ ἐν ἐπιγράμματι ⟨**AP** 5 17⟩ "σοὶ τάδε πέμπω ψαιστία καὶ λιτῆς δῶρα θυηπολίης," καὶ αὖθις ἐν ἐπιγράμματι ⟨6 190⟩ "καὶ ψαισῶν ὀλίγων δράγμα πενιχραλέον." καὶ ψαισῶν, ἅπερ ἦν ἄλφιτα ὑπὸ μύλης κατεψηγισμένα. καὶ αὖθις ⟨6 300⟩ "ψαιστά τε πιήεντα καὶ εὐθήσαυρον ἔλαιον." τὸ δὲ πιήεντα λιπαρά.

ψαίστορα· ⟨**AP** 6 295⟩ "σπόγγον ἔχειν καλάμων ψαίστορ' ἀπὸ Κνιδίων."

ψακάζει ῥαίνει· Ἀριστοφάνης ⟨Pac. 120⟩ "ἔνδον ἀργυρίȣ μὴ ψακὰς ᾖ πάνυ πάμπαν," ἀντὶ τȣ̃ ὑδὲ τὸ σμικρότατον· ὃ καὶ νιφὰς καλεῖται. ἢ μηδὲ ὀβολȣ̃ ὄντος ἡμῖν.

ψάκελον μέγα.

ψακροπόδης ὄνομα ἐπίθετον.

ψαλάσσετε ψηλαφᾶτε· Ἀριστοφάνης ⟨Lys. 84⟩ "ἧπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε·" τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ἐψηλάφων, εἰ λιπαρά ἐστι. καὶ ἀψάλακτος· Ἀριστοφάνης ⟨275⟩ "πρῶτος ἀπῆλθεν ἀψάλακτος, ἀλλ' ὅμως Λακωνικὸν πνέων."

ψαλίδα, ἣν ἡμεῖς ἀψῖδα φαμέν· Νόμων ιβ' ⟨p. 947⟩ "θήκην δὲ ὑπὸ γῆν αὐτοῖς εἰργασμένην εἶναι ψαλίδα προμήκη λίθων πολυτίμων."

ψαλίοις χαλινοῖς· Ἀριστοφάνης ⟨Pac. 155⟩ "χρυσοχάλινον πάταγον ψαλίων."

ψάλλειν· ⟨Dio Cass. 49 27⟩ "ὁ δὲ Φραάτης ἐπὶ δίφρου χρυσοῦ ἐκάθητο, τὴν νευρὰν τοῦ τόξου ψάλλων," ἀντὶ τοῦ προσεγγίζων.

ψαλλομένης τιλλομένης. κυρίως δέ ἐςι ψάλλειν τὸ τῷ ἄκρῳ τῶν δακτύλων τῶν χορδῶν ἅπτεσθαι. καὶ ἐν ἐπιγράμματι ⟨**AP** 6 103⟩ "μιλτοφυρῆ τε σχοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι."

ψαλλόμενος ὁ ἀκροώμενος ψάλτȣ, καὶ κιθαριζόμενος ὁ κιθάρας ἀκροώμενος.

ψάλλω δοτικῇ. αἰτιατικῇ δέ "τὴν νευρὰν τȣ̃ τόξȣ ψάλλων."

ψαλτήριον ὄργανον μȣσικόν, ὅπερ καὶ νάβλα καλεῖται.

ψάλτης καὶ ψαλτής. τὰ εἰς της λήγοντα, ἔχοντα τὴν παραλήγȣσαν εἰς ἀμετάβολον λήγȣσαν, ἀπρόσληπτα ὄντα τȣ̃ σ κατὰ τὴν γενικήν, βαρύνονται, εἰ μὴ εἴη μετοχικά, οἷον ὑφάντης ἀγύρτης εὐφράντης· τὸ δὲ ἑκοντής καὶ ἐθελοντής μετοχικά. παρὰ δὲ Ἀττικοῖς ὀξύνονται καθαρτής, ἀμυντής ἐπὶ τȣ̃ βοηθȣ̃, φαιδρυντής ποικιλτής ψαλτής πραϋντής.

ψάλτιγξ κιθάρα.

ψάμαθος παραθαλάσσιος ἄμμος· ἄμαθος γὰρ ἡ μεσόγειος ⟨cf. v. ἄμαθος⟩.

ψαμμακοσιογάργαρα. ἀπὸ λέξεων τὸ σύνθετον ἐγένετο δηλȣσῶν πολλά. σύγκειται γὰρ ἀπὸ τȣ̃ τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ **Πύθιος** νεανιεύεται τῆς ψάμμȣ τὸν ἀριθμὸν εἰδέναι· "οἶδα δ' ἐγὼ ψάμμȣ τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης." καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπών "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς." δύναται δὲ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια, ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν δέκα ἀριθμὸν μέχρι τῶν χιλίων· ὃς πλήθȣς ἐστὶ πολλȣ̃ σημαντικός, οἷον διακόσια τριακόσια καὶ τὰ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθȣς λαμβάνεται διὰ τὴν συγγένειαν τȣ̃ γ τὴν πρὸς τὸ κ· εἴρηται δὲ ἀντὶ τȣ̃ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ⟨Υ 157⟩· "κάρκαιρε δὲ γαῖα πόδεσσι." μέμνηται καὶ Κρατῖνος· "ἀρίστων ἀνδρῶν πᾶσα γαργαίρει πόλις," οἷον πλήθει.

ἄλλως. οἷον πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ' ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο, παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει ὅτως "ἀριθμεῖν θεατὰς ψαμμακοσίȣς," ἀπὸ τῆς ψάμμȣ ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθȣς ἐτίθετο, ὡς